
3 1761 08825371 1

HERODOTUS

GRÆCE & LATINE.

ACCEDUNT

ANNOTATIONES SELECTÆ

NECNON

INDEX LATINUS,

EX EDITIONIBUS

WESSELINGII ET REIZII.

[edidit George Dunbar]

TOM. II.

EDINBURGI:
E Prelo Academico,
IMPENSIS GULIELMI LAING.

MDCCCVI.

ΕΥΤΕΡΠΗ.

ΗΡΟΔΟΤΟΥ

ΑΛΙΚΑΡΝΗΣΣΗΟΣ

ΙΣΤΟΡΙΩΝ

ΔΕΥΤΕΡΗ,

ΕΠΙΓΡΑΦΟΜΕΝΗ

ΕΥΤΕΡΠΗ.

ΤΕΛΕΥΤΗΣΑΝΤΟΣ δὲ Κύρου, παρέλαβε τὴν βασιληΐην Καμβύσης, Κύρου ἐὼν παῖς καὶ Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρός· τῆς προαποθανούσης, Κῦρος αὐτός τε πένθος μέγα ἐποιήσατο, καὶ τοῖσι ἄλλοισι προεῖπε

HERODOTI

HALICARNASSEI

HISTORIARUM

LIBER SECUNDUS,

QUI INSCRIBITUR

EUTERPE.

CYRO vita functo, regnum suscepit Cambyses, ejus et Cassandanæ Pharnaspe genitæ filius; quam ante virum defunctam Cyrus ingenti luctu et ipse prosequutus est, et ceteris, quibus imperabat, eam ingenti luctu prosequi præcepit. His

πᾶσι τῶν ἦρχε, μέγα πένθος ποιέεσθαι. ταύτης δὲ τῆς γυναικὸς ἐὼν παῖς καὶ Κύρου Καμβύσης, Ἴωνας μὲν καὶ Αἰολέας ὡς δούλους πατρωΐους ἐόντας ἐνόμιζε· ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατηλασίην, ἄλλους τε παραλαβὼν τῶν ἦρχε, καὶ δὴ καὶ Ἑλλήνων, τῶν ἐπεκράτεε.

β'. Οἱ δὲ Αἰγύπτιοι, πρὶν μὲν ἢ Ψαμμήτιχον σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωϋτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων. ἐπειδὴ δὲ Ψαμμήτιχος βασιλεύσας ἠθέλησε εἰδέναι, οἵτινες γενοίατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑωϋτῶν, τῶν δὲ ἄλλων ἑωϋτούς. Ψαμμήτιχος δὲ ὡς οὐκ ἐδύνατο πυνθανόμενος πόρον οὐδένα τούτου ἀνευρεῖν, οἳ γενοίατο πρῶτοι ἀνθρώπων, ἐπιτεχνᾶται τοιόν-

---

parentibus ortus Cambyses, quum Iones et Æolenses pro patriis servis haberet, adversus Ægyptios fecit expeditionem, comparato cum ex subjectis aliis, tum vero e Græcis, quibus dominabatur, exercitu.

2. Ægyptii autem, priusquam apud eos regnaret Psammetichus, omnium hominum se primos extitisse arbitrabantur: verum Psammeticho regnum adepto, quem incessit cupido noscendi quinam primi hominum extitissent, ex eo tempore putaverunt, Phrygas quam se priores extitisse, se vero quam ceteros. Enimvero Psammetichus, quum sciscitando quinam primi hominum extitissent, nullam viam hujus curæ invenire posset, hujusmo-

δε. παιδία δύο νεογνὰ ἀνθρώπων τῶν ἐπιτυχόντων διδοῖ ποιμένι τρέφειν ἐς τὰ ποίμνια τροφήν τινα τοιήνδε· ἐντειλάμενος μηδένα ἀντίον αὐτέων μηδεμίαν φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ ἐπ' ἑωϋτῶν κέεσθαι αὐτὰ, καὶ τὴν ὥρην ἐπαγινέειν σφίσι αἶγας. πλήσαντα δὲ τοῦ γάλακτος, τἆλλα διαπρήσσεσθαι. ταῦτα δ' ἐποιέετο καὶ ἐνέτελλετο ὁ Ψαμμήτιχος, θέλων ἀκοῦσαι τῶν παιδίων, ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην. τάπερ ὦν καὶ ἐγένετο. ὡς γὰρ διέτης χρόνος ἐγεγόνεε ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντι τὴν θύρην, καὶ εἰσιόντι, τὰ παιδία ἀμφότερα προσπίπτοντα βεκὸς ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας. τὰ μὲν δὴ πρῶτα ἀκούσας, ἥσυχος ἦν ὁ ποιμήν. ὡς δὲ πολλάκι φοιτέοντι

---

di rem machinatur: puerulos duos ex humilibus parentibus recens natos, tradit paſtori inter pecora nutriendos hunc in modum: jubens neminem coram eis vocem ullam edere, ſed in deſerta caſa ambos ſeorſum locari, eiſdemque ſuo tempore capras adducere: ubi autem lacte expleti forent, alia adminiſtrari. Hæc ideo faciebat jubebatque Pſammetichus, quod quæ vox prima ex his puerulis erumperet, ubi inarticulate vagire deſiſſent, audire cuperet: prout et contigit. Biennii exacto tempore, paſtori, qui hæc adminiſtrabat, aperienti januam atque intranti, ambo pueruli porrectis manibus allabentes, becos clamabant. Quod primo audiens paſtor obticuit: quum vero crebrius adeunti et curanti i-

καὶ ἐπιμελουμένῳ πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ, ἤγαγε τὰ παιδία κελεύσαντος ἐς ὄψιν τὴν ἐκείνου. ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος, ἐπυνθάνετο οἵτινες ἀνθρώπων βεκός τι καλέουσι; πυνθανόμενος δὲ, εὕρισκε Φρύγας καλέοντας τὸν ἄρτον. οὕτω συνεχώρησαν Αἰγύπτιοι, καὶ τοιούτῳ σταθμησάμενοι πρήγματι, τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωϋτῶν.

γ΄. Ὧδε μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου ἐν Μέμφι ἤκουον. Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ, καὶ ὡς γυναικῶν τὰς γλώσσας ὁ Ψαμμήτιχος ἐκταμὼν, τὴν δίαιταν οὕτως ἐποιήσατο τῶν παιδίων παρὰ ταύτῃσι τῇσι γυναιξί. κατὰ μὲν δὴ τὴν τροφὴν τῶν παιδίων τοσαῦτα ἔλεγον. ἤκουσα δὲ

---

dem verbum frequentaretur, ita demum re domino indicata, juffus ab eo, puerulos attulit exhibuitque. Quos quum et ipfe Pfammetichus audiffet, percontabatur, quinam homines becos quippiam appellarent?—Hæc percontans comperit Phrygas panem appellare. Tali modo quum rem ponderaviffent, Ægyptii Phrygas fe vetuftiores effe concefferunt.

3. Quod ita actum effe ex facerdotibus Vulcani in urbe Memphi audiebam. Græci tamen cum alia multa inepta memorant, tum vero Pfammetichum pueros nutriendos ita curaffe apud mulieres, quarum linguas excidiffet. Et talia de puerorum nutrimentis referebant. Alia quoque apud Memphin audivi ex Vulcani facerdotibus, cum quibus in collo-

καὶ ἄλλα ἐν Μέμφι, ἐλθὼν ἐς λόγους τοῖσι ἱρεῦσι τοῦ Ἡφαίστου. καὶ δὴ καὶ ἐς Θήβας τε καὶ ἐς Ἡλιούπολιν αὐτέων τουτέων εἵνεκεν ἐτραπόμην, ἐθέλων εἰδέναι εἰ συμβήσονται τοῖσι λόγοισι τοῖσι ἐν Μέμφι. οἱ γὰρ Ἡλιουπολῖται λέγονται Αἰγυπτίων εἶναι λογιώτατοι. τὰ μέν νυν θεῖα τῶν ἀπηγημάτων οἷα ἤκουον, οὐκ εἰμὶ πρόθυμος ἐξηγέεσθαι, ἔξω ἢ τὰ οὐνόματα αὐτέων μοῦνον· νομίζων πάντας ἀνθρώπους ἴσον περὶ αὐτέων ἐπίστασθαι· τὰ δ' ἂν ἐπιμνησθῶ αὐτέων, ὑπὸ τοῦ λόγου ἐξαναγκαζόμενος ἐπιμνησθήσομαι.

δ΄. Ὅσα δὲ ἀνθρωπήϊα πρήγματα, ὧδε ἔλεγον ὁμολογέοντές σφισι. πρώτους Αἰγυπτίους ἀνθρώπων ἁπάντων ἐξευρέειν τὸν ἐνιαυτὸν, δυώδεκα μέρεα δασαμένους τῶν ὡρέων ἐς αὐτόν.

---

quium veni. Quin etiam harum ipſarum rerum gratia et Thebas et Heliopolin me contuli, animo cognoſcendi, nunquid conſentanea dicturi eſſent iis quæ Memphi dicerentur. Nam Heliopolitani feruntur Ægyptiorum eſſe ſolertiſſimi. Quas vero narrationes ad divina pertinentes audivi, eas non libenter in publicum enunciaverim, niſi ipſorum tantummodo nomina; exiſtimans omnes homines idem noviſſe de his; quorum quicquid commemorabo, id oratione coactus commemorabo.

4. Quæ autem humana negotia ſunt, hæc ita referebant inter ſe convenientes. Omnium hominum primos Ægyptios annum reperiſſe, deſcriptis per eum duodecim temporum partibus. Et hæc excogitaviſſe ex

ταῦτα δὲ ἐξευρέειν ἐκ τῶν ἄστρων ἔλεγον. ἄγουσι δὲ τοσῷδε σοφώτερον Ἑλλήνων, ἐμοὶ δοκέειν, ὅσῳ Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι, τῶν ὡρέων εἵνεκεν· Αἰγύπτιοι δὲ τριηκοντημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας, ἐπάγουσι ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας πάρεξ τοῦ ἀριθμοῦ. καί σφι ὁ κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιϊὼν, παραγίγνεται. δυώδεκά τε θεῶν ἐπωνυμίας ἔλεγον πρώτους Αἰγυπτίους νομίσαι, καὶ Ἕλληνας παρὰ σφέων ἀναλαβεῖν. βωμούς τε καὶ ἀγάλματα καὶ νηοὺς θεοῖσι ἀπονεῖμαι σφέας πρώτους, καὶ ζῶα ἐν λίθοισι ἐγγλύψαι. καὶ τουτέων μέν νυν τὰ πλέω ἔργῳ ἐδήλουν οὕτω γενόμενα. βασιλεῦσαι δὲ πρῶτον Αἰγύπτου ἀνθρώπων ἔλεγον Μῆνα. ἐπὶ τούτου, πλὴν τοῦ Θηβαϊκοῦ νομοῦ,

---

aſtris dicebant; tanto prudentius, me arbitro, hoc ducentes quam Græci; quod Græci quidem tertio quoque anno intercalarem adinducunt, temporum gratia: Ægyptii vero tricenorum dierum tenentes duodecim menſes, adjiciunt cuique anno quinos dies extra numerum, unde eis circulus temporum conſtat eodem rediens. Ægyptios quoque primos, duodecim deorum cognomina in uſu habuiſſe, et ab illis Græcos fuiſſe mutuatos. Item primos ipſos diis et aras et ſimulacra et delubra ſtatuiſſe: quinetiam animalia in ſaxis ſculpſiſſe: quarum rerum pleraque ſic effecta opere demonſtrabant.— Præterea primum in Ægypto mortalium regnaſſe Mena, ac ſub eo omnem Ægyptum, præter Thebaicam præfectu-

πᾶσαν Αἴγυπτον εἶναι ἕλος· καὶ αὐτῆς εἶναι οὐδὲν ὑπερέχον τῶν νῦν ἔνερθε λίμνης τῆς Μοίριος ἐόντων· ἐς τὴν ἀνάπλους ἀπὸ θαλάσσης ἑπτὰ ἡμερέων ἐστὶ ἀνὰ τὸν ποταμόν.

έ. Καὶ εὖ μοι ἐδόκεον λέγειν περὶ τῆς χώρης. δῆλα γὰρ δὴ καὶ μὴ προακούσαντι, ἰδόντι δὲ, ὅς τίς γε σύνεσιν ἔχει, ὅτι Αἴγυπτος, ἐς τὴν Ἕλληνες ναυτίλλονται, ἔστι Αἰγυπτίοισι ἐπίκτητός τε γῆ, καὶ δῶρον τοῦ ποταμοῦ· καὶ τὰ κατύπερθε ἔτι τῆς λίμνης ταύτης, μέχρι τριῶν ἡμερέων πλόου, τῆς πέρι ἐκεῖνοι οὐδὲν ἔτι τοιόνδε ἔλεγον. ἔστι δ' ἕτερον τοιοῦτον. Αἰγύπτου γὰρ φύσις τῆς χώρης ἐστὶ τοιήδε. πρῶτα μὲν προσπλέων ἔτι, καὶ ἡμέρης δρόμον ἀπέχων ἀπὸ γῆς, κατεὶς καταπειρητηρίην, πηλόν τε ἀνοίσεις, καὶ ἐν ἕνδεκα ὀργυίῃσι ἔσεαι. τοῦτο

---

ram, paludem fuisse: ex eaque nihil eorum quæ nunc sunt infra stagnum Mœrios, eminuisse: in quod stagnum a mari per flumen septem diebus navigatur.

5. Atque de regione bene mihi dicere videbantur; manifestum enim est ei, qui, etsi antea non audierit, tamen inspexerit, modo sit solertia præditus, Ægyptum in quam Græci navigant, acquisitam Ægyptiis esse terram, ac fluminis donum: quinetiam loca quæ supra stagnum hoc sunt, ad trium usque dierum navigationem; de qua non jam tale quicquam commemorabant. Est autem aliud tale. Ægyptiacæ regionis hujuscemodi natura est: Jam primum adhuc adnavigans et distans ab ea diurno cursu, demissa bolide cœnum attolles et

μὲν ἐπὶ τοσοῦτον δηλοῖ πρόχυσιν τῆς γῆς ἐοῦσαν.

ϛ'. Αὖτις δὲ αὐτῆς Αἰγύπτου ἐστὶ μῆκος τὸ παρὰ θάλασσαν, ἑξήκοντα σχοῖνοι, κατὰ ἡμέες διαιρέομεν εἶναι Αἴγυπτον ἀπὸ τοῦ Πλινθινήτεω κόλπου μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν τὸ Κάσιον ὄρος τείνει· ταύτης ὦν ἀπὸ οἱ ἑξήκοντα σχοῖνοί εἰσι· ὅσοι μὲν γὰρ γεωπεῖναί εἰσι ἀνθρώπων, ὀργυίῃσι μεμετρήκασι τὴν χώρην· ὅσοι δὲ ἧσσον γεωπεῖναι, σταδίοισι· οἳ δὲ πολλὴν ἔχουσι, παρασάγγῃσι· οἳ δὲ ἄφθονον λίην, σχοίνοισι. δύναται δὲ ὁ μὲν παρασάγγης τριήκοντα στάδια· ὁ δὲ σχοῖνος ἕκαστος, μέτρον ἐὼν Αἰγύπτιον, ἑξήκοντα στάδια. οὕτω ἂν εἴησαν Αἰγύπτου στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι, τὸ παρὰ θάλασσαν.

---

eris in undecim orgyis vel profunditate quatuor et quadraginta cubitorum, quæ res declarat eatenus esse profusionem telluris.

6. Porro autem ipsius Ægypti longitudo secundum mare est sexaginta schœnorum, quemadmodum nos Ægyptum esse distinguimus a sinu Plinthinete, usque ad paludem Serbonida, ad quam mons Casius se porrigit. Itaque ab hac sunt sexaginta schœni. Etenim qui modicum terræ possident, mensi sunt illam per orgyias vel mensuram quatuor cubitorum: qui minus inopes terræ, stadiis: qui multum possident, parasangis: qui plurimum quantum, schœnis.—Respondet autem parasanga tricenis stadiis; schœnus, mensura Ægyptiaca, sexagenis.—Ita erat Ægyptus propter mare stadiorum trium millium sexcentorum.

ζ'. Ἐνθεῦτεν μὲν καὶ μέχρι Ἡλιουπόλιος ἐς τὴν μεσόγαιαν, ἔστι εὐρέα Αἴγυπτος, ἐοῦσα πᾶσα ὑπτίη τε καὶ ἄνυδρος, καὶ ἰλύς. ἔστι δὲ ὁδὸς ἐς τὴν Ἡλιούπολιν ἀπὸ θαλάσσης ἄνω ἰόντι, παραπλησίη τὸ μῆκος τῇ ἐξ Ἀθηνέων ὁδῷ, τῇ ἀπὸ τῶν δυώδεκα θεῶν τοῦ βωμοῦ φερούσῃ ἔς τε Πίσαν καὶ ἐπὶ τὸν νηὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου. σμικρόν τι τὸ διάφορον εὕροι τις ἂν λογιζόμενος τῶν ὁδῶν τουτέων, τὸ μὴ ἴσας μῆκος εἶναι, οὐ πλέον πεντεκαίδεκα σταδίων. ἡ μὲν γὰρ ἐς Πίσαν ἐξ Ἀθηνέων, καταδεῖ πεντεκαίδεκα σταδίων, ὡς μὴ εἶναι πεντακοσίων καὶ χιλίων· ἡ δὲ ἐς Ἡλιούπολιν ἀπὸ θαλάσσης, πληροῖ ἐς τὸν ἀριθμὸν τοῦτον.

η'. Ἀπὸ δὲ Ἡλιουπόλιος ἄνω ἰόντι, στεινή ἐστι Αἴγυπτος. τῇ μὲν γὰρ, τῆς Ἀραβίης ὄ-

---

7. Hinc quidem etiam ad Heliopolin mediterranea verſus Ægyptus lata eſt, ſupina omnis et aquarum inops ſimul ac limoſa. A mari autem verſus Heliopolin adſcendenti, iter eſt ejuſdem ſpatii, cujus id quod ex Athenis ab ara duodecim deorum fert Piſam et ad delubrum Jovis Olympii: quæ itinera ſiquis computet, inveniat parum quiddam differre, quominus ſit par earum longitudo, non amplius quindecim ſtadiis. Nam viæ quæ ex Athenis Piſam fert, quindecim ſtadia deſunt, ut ſit mille et quingentorum ſtadiorum: at ea quæ a mari ad Heliopolin ducit, hunc numerum complet.

8. Ab Heliopoli autem ſuperiora petenti Ægyptus anguſta eſt; nam ab una parte mons Arabiæ prætentus eſt, ab

ρος παρατέταται, φέρον ἀπ᾽ ἄρκτου πρὸς μεσαμβρίης τε καὶ νότου, αἰεὶ ἄνω τεῖνον ἐς τὴν Ἐρυθρὴν καλεομένην θάλασσαν· ἐν τῷ καὶ λιθοτομίαι ἔνεισι, αἳ ἐς τὰς πυραμίδας κατατμηθεῖσαι τὰς ἐν Μέμφι. ταύτῃ μὲν λῆγον, ἀνακάμπτει ἐς τὰ εἴρηται, τὸ ὄρος· τῇ δὲ αὐτὸ ἑωϋτοῦ ἐστὶ μακρότατον, ὡς ἐγὼ ἐπυνθανόμην δύο μηνῶν αὐτὸ εἶναι τῆς ὁδοῦ ἀπὸ ἠοῦς πρὸς ἑσπέρην· τὰ δὲ πρὸς τὴν ἠῶ, λιβανωτοφόρα αὐτοῦ τὰ τέρματα εἶναι. τοῦτο μὲν νυν τὸ ὄρος τοιοῦτόν ἐστι. τὸ δὲ πρὸς Λιβύης τῆς Αἰγύπτου, ὄρος ἄλλο πέτρινον τείνει, ἐν τῷ αἱ πυραμίδες ἔνεισι, ψάμμῳ κατειλυμένον, τεταμμένον τὸν αὐτὸν τρόπον τὸν καὶ τοῦ Ἀραβίου τὰ πρὸς μεσαμβρίην φέροντα. τὸ ὧν δὴ ἀπὸ Ἡλιουπόλιος, οὐκέτι πολλὸν χωρίον ὡς εἶ-

---

aquilone ferens ad meridiem atque ad auftrum, femper furfum tendens ad mare, quod rubrum vocatur. In eo funt lapidicinæ, ad pyramides, quæ funt apud Memphin, excifæ. Ibi quidem definens mons reflectit, in quæ dictum eft. Qua vero longiffimus fui ipfius eft, duorum ego audiebam id menfium itineris effe ab aurora ad vefperam; et ejus extrema quæ ad auroram vergunt, feracia thuris. Atque hic quidem mons talis eft. Latus autem Ægypti verfus Africam alius mons faxeus urget, in quo pyramides funt, fabulo obvolutus, eodem modo porrectus, quo Arabici montis partes, quæ ad meridiem ferunt. Quod igitur ab Heliopoli patet, non

ναι Αἰγύπτου, ἀλλ' ὅσον τε ἡμερέων τεσσέρων ἀναπλόου στεινή ἐστι Αἴγυπτος ἐοῦσα. τῶν δὲ οὐρέων τῶν εἰρημένων τὸ μεταξὺ, πεδιὰς μὲν γῆ· στάδιοι δὲ μάλιστα ἐδόκεόν μοι εἶναι, τῇ στεινότατόν ἐστι, διηκοσίων οὐ πλείους, ἐκ τοῦ Ἀραβίου οὔρεος ἐς τὸ Λιβυκὸν καλεύμενον. τὸ δ' ἐνθεῦτεν αὖτις εὐρέα Αἴγυπτός ἐστι.

θ'. Πέφυκε μέν νυν ἡ χώρη αὕτη οὕτω. ἀπὸ δὲ Ἡλιουπόλιος ἐς Θήβας, ἔστι ἀνάπλοος ἐννέα ἡμερέων· στάδιοι δὲ τῆς ὁδοῦ, ἑξήκοντα καὶ ὀκτακόσιοι καὶ τετρακισχίλιοι, σχοίνων ἑνὸς καὶ ὀγδώκοντα ἐόντων. οὗτοι συντεθειμένοι στάδιοι Αἰγύπτου, τὸ μὲν παρὰ θάλασσαν, ἤδη μοι καὶ πρότερον δεδήλωται ὅτι ἑξακοσίων τέ ἐστι σταδίων καὶ τρισχιλίων· ὅσον δέ τι ἀπὸ θαλάσσης ἐς μεσόγαιαν μέχρι Θη-

---

ampla regio eſt, ut ſit Ægypti; ſed Ægyptus eſt anguſta, quatuor dierum navigationis. Horum quos dixi montium medium campeſtris eſt terra, ſtadiorum ferme, ut mihi videbatur, qua parte arctiſſima eſt, non amplius ducentorum, e monte Arabico ad eum, qui dicitur Libycus. Illinc vero rurſus Ægyptus laxa eſt.

9. Atque ita ſitus regionis hujus natura comparatus eſt. Ab Heliopoli autem ad Thebas novem diebus ſurſum navigatur, ſpatio quatuor millium octingentorum et ſexaginta ſtadiorum, hoc eſt, unius et octoginta ſchœnorum: quæ Ægypti ſtadia compoſita, ſecundum quidem mare ſunt, prout a me ſuperius indicatum eſt,

βέων ἐστὶ σημανέω. στάδιοι γάρ εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι. τὸ δὲ ἀπὸ Θηβέων ἐς Ἐλεφαντίνην καλεομένην πόλιν, στάδιοι χίλιοι καὶ ὀκτακόσιοί εἰσι.

ι΄. Ταύτης ὦν τῆς εἰρημένης ἡ πολλὴ, κατάπερ οἱ ἱρέες ἔλεγον, ἐδόκεε καὶ αὐτῷ μοι εἶναι ἐπίκτητος Αἰγυπτίοισι. τῶν γὰρ οὐρέων τῶν εἰρημένων τῶν ὑπὲρ Μέμφιν πόλιν κειμένων τὸ μεταξὺ ἐφαίνετό μοι εἶναί κοτε κόλπος θαλάσσης, ὥσπερ γε τὰ περὶ Ἴλιον, καὶ Τευθρανίην, καὶ Ἔφεσόν τε, καὶ Μαιάνδρου πεδίον· ὥστε εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβαλέειν. τῶν γὰρ ταῦτα τὰ χωρία προσχωσάντων ποταμῶν, ἑνὶ τῶν στομάτων τοῦ Νείλου ἐόντος πενταστόμου, οὐδεὶς αὐτῶν πλήθεος πέρι ἄξιος συμβληθῆναί ἐστι. εἰσὶ δὲ καὶ ἄλλοι

---

tria millia fexcenta : quantum vero a mari ad mediterranea ufque Thebas fit, indicabo; funt enim fex millia ac centum viginti ftadia : a Thebis autem ad urbem nomine Elephantinam, octingenta et mille.

10. Hujus igitur regionis, quæ a me dicta eft, pleraque pars, ut facerdotes aiebant, etiam mihi ipfi effe videbatur acquifita Ægyptiis. Siquidem quod inter dictos montes, fupra Memphin urbem pofitos, medium eft, videbatur mihi finus maris aliquando fuiffe, quemadmodum ea quæ funt circa Ilium, et Teuthraniam, et Ephefum, et Mæandri campum, ut hæc parva magnis comparare liceat : quoniam nullum eorum fluminum, quæ has regiones oblimaverunt, dignum eft comparari uni ex

ποταμοὶ οὐ κατὰ τὸν Νεῖλον ἐόντες μεγάθεα, οἵ τινες ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί. τῶν ἐγὼ φράσαι ἔχω οὐνόματα, καὶ ἄλλων, καὶ οὐκ ἥκιστα Ἀχελώου· ὃς ῥέων δι' Ἀκαρνανίης, καὶ ἐξιεὶς ἐς θάλασσαν, τῶν Ἐχινάδων νήσων τὰς ἡμίσεας ἤδη ἤπειρον πεποίηκε.

ια'. Ἔστι δὲ τῆς Ἀραβίης χώρης, Αἰγύπτου δὲ οὐ πρόσω, κόλπος θαλάσσης ἐσέχων ἐκ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης, μακρὸς οὕτω δή τι καὶ στενὸς, ὡς ἔρχομαι φράσων. μῆκος μὲν πλόου, ἀρξαμένῳ ἐκ μυχοῦ διεκπλῶσαι ἐς τὴν εὐρέην θάλασσαν, ἡμέραι ἀναισιμοῦνται τεσσεράκοντα, εἰρεσίῃ χρεωμένῳ· εὖρος δὲ, τῇ εὐρύτατός ἐστι ὁ κόλπος, ἥμισυ ἡμέρης πλόου. ῥηχίη δ' ἐν αὐτῷ καὶ ἄμπωτις ἀνὰ πᾶσαν ἡμέρην γίνεται. ἕτερον

---

quinque oſtiis Nili, reſpectu copiæ et multitudinis aquarum. Sunt et alii fluvii nequaquam magnitudine Nilum æquantes, qui magna opera ediderunt, quorum nomina poſſem referre; cum aliorum, tum vero non minimum Acheloi, qui per Acarnaniam fluens et emiſſus in mare Echinadum inſularum dimidiam partem fecit jam continentem.

11. Eſt autem Arabicæ regionis, non procul tamen ab Ægypto, ſinus maris, invergens ex eo mari, quod rubrum vocatur, ita longus atque arctus, ut differendo oſtendam. Longitudo quidem, inchoanti pernavigare ex receſſu in amplum æquor, conſumit quadraginta dies, ſi remigatio uſurpetur: latitudo vero, ubi ſinus ampliſſimus eſt, dimidiatum diem

τοιοῦτον κόλπον καὶ τὴν Αἴγυπτον δοκέω γενέσθαι κου· τὸν μὲν, ἐκ τῆς βορηΐης θαλάσσης κόλπον ἐσχέοντα ἐπ' Αἰθιοπίης· τὸν δὲ, Ἀράβιον, τὸν ἔρχομαι λέξων, ἐκ τῆς νοτίης φέροντα ἐπὶ Συρίης· σχεδὸν μὲν ἀλλήλοισι συντετραίνοντας τοὺς μυχοὺς, ὀλίγον δέ τι παραλλάσσοντας τῆς χώρης. εἰ ὦν ἐθελήσει ἐκτρέψαι τὸ ῥέεθρον ὁ Νεῖλος ἐς τοῦτον τὸν Ἀράβιον κόλπον, τί μιν κωλύει ῥέοντος τούτου ἐκχωσθῆναι ἐντός γε δισμυρίων ἐτέων; ἐγὼ μὲν γὰρ ἔλπομαί γε καὶ μυρίων ἐντὸς χωσθῆναι ἄν κού γε δὴ ἐν τῷ προαναισιμωμένῳ χρόνῳ πρότερον ἢ ἐμὲ γενέσθαι, οὐκ ἂν χωσθείη κόλπος, καὶ πολλῷ μέζων ἔτι τούτου, ὑπὸ τοσούτου τε ποταμοῦ καὶ οὕτως ἐργατικοῦ;

---

navigationis. In quo ſinu quotidie æſtus et receſſus eſt. Alium hujuſmodi arbitror ſinum etiam extitiſſe Ægyptum; ex quibus ille quidem, a mari ſeptentrionali ſinus infundens Æthiopiam verſus: alter vero Arabicus, de quo a me ſermo inſtituetur, ab auſtrino Syriam verſus tendit: qui prope ſibi invicem ſuos receſſus perforant, ſed exiguo quodam terræ intervallo dirempti. Quod ſi in hunc Arabicum ſinum Nilus volet alveum ſuum convertere, quid eum prohibebit iſto fluente utique intra viginti millia annorum oblimatum iri? Ego enim credo etiam intra decem millia aggeratum et oblimatum alicubi eſſe in eo tempore, quod ante me natum tranſiit. Et non rurſus oblimaretur ſinus etiam, qui multo major eſſet hoc Arabico, a tanto flumine atque ita operoſo?

ιβ΄. Τὰ περὶ Αἴγυπτον ὦν, καὶ τοῖσι λέγουσι αὐτὰ πείθομαι, καὶ αὐτὸς οὕτω κάρτα δοκέω εἶναι, ἰδών τε τὴν Αἴγυπτον προκειμένην τῆς ἐχομένης γῆς, κογχύλιά τε φαινόμενα ἐπὶ τοῖσι ὄρεσι, καὶ ἅλμην ἐπανθέουσαν, ὥστε καὶ τὰς πυραμίδας δηλέεσθαι· καὶ ψάμμον μοῦνον Αἰγύπτου ὄρος τοῦτο τὸ ὑπὲρ Μέμφιος ἔχον. πρὸς δὲ τῇ χώρῃ, οὔτε τῇ Ἀραβίῃ προσούρῳ ἐούσῃ τὴν Αἴγυπτον προσεικέλην, οὔτε τῇ Λιβύῃ, οὐ μὲν οὐδὲ τῇ Συρίῃ, (τῆς γὰρ Ἀραβίης τὰ παρὰ θάλασσαν Σύριοι νέμονται) ἀλλὰ μελάγγαιόν τε καὶ κατερῥηγνυμένην, ὥστε ἐοῦσαν ἰλύν τε καὶ πρόχυσιν ἐξ Αἰθιοπίης κατενηνειγμένην ὑπὸ τοῦ ποταμοῦ. τὴν δὲ Λιβύην ἴδμεν ἐρυθροτέρην τε γῆν, καὶ ὑποψαμμοτέρην· τὴν δὲ Ἀραβίην τε καὶ Συρίην ἀργιλωδεστέρην τε καὶ ὑπόπετρον ἐοῦσαν.

---

12. Itaque quæ circa Ægyptum sunt, et dicentibus illa credo, et ipse ita habere valide existimo; quippe quum videam et Ægyptum procurrere extra vicinam regionem, et conchylia apparere in montibus, ac salsuginem efflorescere, ita ut etiam pyramides corrumpat: et hunc montem, qui in Ægypto est super Memphin, arenas solas habere. Præterea autem regione nec Arabiæ conterminæ Ægyptum adsimilem esse, neque Africæ, immo nec Syriæ (etenim Arabiæ maritimam oram Syrii incolunt) sed nigram terram et confractam, quippe quæ sit limus et proluvies, ex Æthiopia delata ab flumine. Nam Africam scimus humum magis rubram esse, et fere arenosiorem; Arabiam vero atque Syriam, argillosiorem ac suppetrosam.

ιγ'. Ἔλεγον δὲ καὶ τόδε μοι μέγα τεκμήριον περὶ τῆς χώρης ταύτης οἱ ἱρέες, ὡς ἐπὶ Μοίριος βασιλῆος, ὅκως ἔλθοι ὁ ποταμὸς ἐπὶ ὀκτὼ πήχεας τὸ ἐλάχιστον, ἄρδεσκε Αἴγυπτον τὴν ἔνερθε Μέμφιος. καὶ Μοίρι οὔκω ἦν ἔτεα ἐνακόσια τετελευτηκότι, ὅτε τῶν ἱρέων ταῦτα ἐγὼ ἤκουον. νῦν δὲ εἰ μὴ ἐπ' ἑκκαίδεκα ἢ πεντεκαίδεκα πήχεας ἀναβῇ τοὐλάχιστον ὁ ποταμὸς, οὐκ ὑπερβαίνει ἐς τὴν χώρην. δοκέουσί τέ μοι Αἰγυπτίων οἱ ἔνερθε τῆς λίμνης τῆς Μοίριος, οἰκέοντες τά τε ἄλλα χωρία καὶ τὸ καλεόμενον Δέλτα, ἢν οὕτω ἡ χώρη αὕτη κατὰ λόγον ἐπιδιδοῖ ἐς ὕψος, καὶ τὸ ὅμοιον ἀποδιδοῖ ἐς αὔξησιν, μὴ κατακλύζοντος αὐτὴν τοῦ Νείλου, πείσεσθαι τὸν πάντα χρόνον τὸν ἐπίλοιπον Αἰγύπτιοι, τὸ κοτε αὐτοὶ Ἕλληνας

---

13. Quin etiam hoc magnum hujus regionis documentum mihi aiebant sacerdotes, sub rege Mœri fluvium, quoties octo minimum cubitos adscenderet, irrigasse Ægyptum quæ infra Memphin est; necdum ab obitu Mœrios nongenti erant anni, quum hæc ego a sacerdotibus audiebam. At nunc, nisi ad sedecim aut minimum ad quindecim cubitos adscendat fluvius, in regionem non supergreditur. Quæ regio, si proportione sic in altum surgat, et tantundem ad incrementum tendat, non restagnante in eam Nilo, videntur mihi Ægyptii, utique Ægyptiorum illi, qui infra paludem Mœrin incolunt, cum alia loca, tum vero eum qui vocatur Delta, idem passuri omni futuro tempore Ægyptii, quod aiebant ipsi passuros aliquando Græcos. Nam

ἔφασαν πείσεσθαι. πυθόμενοι γὰρ ὡς ὕεται πᾶσα ἡ χώρη τῶν Ἑλλήνων, ἀλλ᾽ οὐ ποταμοῖσι ἄρδεται, κατάπερ ἡ σφετέρη, ἔφασαν Ἕλληνας ψευσθέντας κοτὲ ἐλπίδος μεγάλης, κακῶς πεινήσειν. τὸ δὲ ἔπος τοῦτο ἐθέλει λέγειν, ὡς εἰ μὴ ἐθελήσει σφίσι ὕειν ὁ θεὸς, ἀλλ᾽ αὐχμῷ διαχρέεσθαι, λιμῷ οἱ Ἕλληνες αἱρεθήσονται. οὐ γὰρ δὴ σφι ἐστὶ ὕδατος οὐδεμίη ἄλλη ἀποστροφὴ ὅτι μὴ ἐκ τοῦ Διὸς μοῦνον.

ιδ΄. Καὶ ταῦτα μὲν ἐς Ἕλληνας Αἰγυπτίοισι ὀρθῶς ἔχοντα εἴρηται. φέρε δὲ νῦν καὶ αὐτοῖσι Αἰγυπτίοισι ὡς ἔχει φράσω. εἴ σφι θέλοι, ὡς καὶ πρότερον εἶπον, ἡ χώρη ἡ ἔνερθε Μέμφιος (αὕτη γὰρ ἐστὶ ἡ αὐξανομένη) κατὰ λόγον τοῦ παροιχομένου χρόνου ἐς ὕψος αὐξάνεσθαι, ἄλλο τί ἢ οἱ ταύτῃ οἰκέοντες Αἰγυπτίων

quum audirent omnem Græcorum terram pluvia perfundi, non rigari fluminibus, ut suam, dicebant fore ut Græci decepti aliquando magna spe, male esurirent. Qui sermo hoc dicere vult, Græcos, si nolit eis deus pluere, sed siccitatem immittere, fame extinctum iri, utpote quibus nullum sit remedium aquæ, nisi tantum a Jove.

14. Atque hæc quidem ab Ægyptiis in Græcos recte perpensa dicuntur; age, nunc vicissim dicam quomodo res ipsis Ægyptiis se habeant. Si, ut superius dicebam, quæ infra Memphin est regio, (hæc enim est quæ augescit) velit in altum crescere proportione præteriti temporis, aliud quam Ægyptiorum illi, qui istic incolunt esu

πεινήσουσι; εἰ μήτε γε ὕσεταί σφι ἡ χώρη, μήτε ὁ ποταμὸς οἷός τ' ἔσται ἐς τὰς ἀρούρας ὑπερβαίνειν; ἦ γὰρ δὴ νῦν γε οὗτοι ἀπονητότατα καρπὸν κομίζονται ἐκ γῆς, τῶν τε ἄλλων ἀνθρώπων ἁπάντων, καὶ τῶν λοιπῶν Αἰγυπτίων. οἳ οὔτε ἀρότρῳ ἀναῤῥηγνύντες αὔλακας, ἔχουσι πόνους, οὔτε σκάλλοντες οὔτε ἄλλο ἐργαζόμενοι οὐδὲν, τῶν οἱ ἄλλοι ἄνθρωποι περὶ λήϊον πονέουσι, ἀλλ' ἐπεὰν σφι ὁ ποταμός, αὐτόματος ἐπελθὼν ἄρσῃ τὰς ἀρούρας, ἄρσας δὲ, ἀπολείπῃ ὀπίσω, τότε σπείρας ἕκαστος τὴν ἑωϋτοῦ ἄρουραν ἐσβάλλει ἐς αὐτὴν ὗς. ἐπεὰν δὲ καταπατήσῃ τῇσι ὑσὶ τὸ σπέρμα, ἀμητὸν τὸ ἀπὸ τούτου μένει. ἀποδινήσας δὲ τῇσι ὑσὶ τὸν σῖτον οὕτω κομίζεται.

---

riant, si neque pluviam accipiet regio, neque flumen exspatiari valebit super rura? Isti namque nunc tum ex aliis omnibus hominibus, tum ex reliquis Ægyptiis, maxime nullo partum labore percipiunt fructum, qui neque aperiendis aratro sulcis operantur, neque subigendo solo, neque aliud quicquam operis faciendo, quod in arvo colendo cæteri mortales sustinent: sed postquam fluvius sua sponte superveniens irrigavit rura, irrigataque reliquit rursus, tunc in suum quisque rus jacto semine sues immittit, et satis conculcato a suibus semine, messem deinde expectat: atque ubi suibus frumentum excusserit, ita demum percipit.

ιε΄. Εἰ ὦν βουλόμεθα γνώμῃσι τῇσι Ἰώνων χρέεσθαι τὰ περὶ Αἰγύπτου, οἵ φασι τὸ Δέλτα μοῦνον εἶναι Αἴγυπτον, ἀπὸ Περσέως καλεομένης σκοπιῆς, λέγοντες τὸ παρὰ θάλασσαν εἶναι αὐτὴν, μέχρι ταριχηΐων τῶν Πηλουσιακῶν, τῆσδε τεσσεράκοντά εἰσι σχοῖνοι. τὸ δὲ ἀπὸ θαλάσσης λεγόντων ἐς μεσόγαιαν τείνειν αὐτῶν μέχρι Κερκασώρου πόλιος, κατ' ἣν σχίζεται ὁ Νεῖλος, ἔς τε Πηλούσιον ῥέων καὶ ἐς Κάνωβον, τὰ δὲ ἄλλα λεγόντων τῆς Αἰγύπτου, τὰ μὲν Λιβύης, τὰ δὲ Ἀραβίης εἶναι· ἀποδεικνύοιμεν ἂν, τούτῳ τῷ λόγῳ χρεόμενοι, Αἰγυπτίοισι οὐκ ἐοῦσαν πρότερον χώρην. ἤδη γάρ σφι τό γε Δέλτα, ὡς αὐτοὶ λέγουσι Αἰγύπτιοι, καὶ ἐμοὶ δοκέει, ἔστι κατάῤῥυτόν τε, καὶ νεωστὶ ὡς λόγῳ εἰπεῖν, ἀναπεφηνός.

---

15. Quod si vellem de Ægypto Ionum uti sententiis, qui solum Delta Ægyptum esse aiunt, a Persei appellata specula, dicentes illius secundum mare esse ad Pelusiacas usque taricheas, ubi quadraginta schœni sunt: partem vero a mari dicentium ad mediterranea pertinere usque ad Cercasorum urbem, juxta quam scinditur Nilus in Pelusium fluens et in Canobum; cetera vero dicentium Ægypti, partim esse Africæ, partim Arabiæ: ostenderemus, hac ratione utentes, Ægyptiis primum non esse regionem. Jam quippe Delta eis, ut ipsi dicunt Ægyptii, et mihi videtur, fluctibus exposita est, et quæ nuper, ut sic dicam, apparuit

εἰ τοίνυν σφι χώρη γε μηδεμίη ὑπῆρχε, τί περιηργάζοντο δοκέοντες πρῶτοι ἀνθρώπων γεγονέναι; οὐδὲ ἔδει σφέας ἐς διάπειραν τῶν παιδίων ἰέναι, τίνα γλῶσσαν πρώτην ἀπήσουσι. ἀλλ' οὔτε Αἰγυπτίους δοκέω ἅμα τῷ Δέλτα τῷ ὑπ' Ἰώνων καλεομένῳ γενέσθαι, αἰεί τε εἶναι ἐξ οὗ ἀνθρώπων γένος ἐγένετο. προϊούσης δὲ τῆς χώρης, πολλοὺς μὲν τοὺς ὑπολειπομένους αὐτέων γίνεσθαι, πολλοὺς δὲ τοὺς ὑποκαταβαίνοντας. τὸ δ' ὦν πάλαι αἱ Θῆβαι Αἴγυπτος ἐκαλέετο· τῆς τὸ περίμετρον στάδιοί εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι.

ις'. Εἰ ὦν ἡμεῖς ὀρθῶς περὶ αὐτέων γινώσκομεν, Ἴωνες οὐκ εὖ φρονέουσι περὶ Αἰγύπτου· εἰ δὲ ὀρθή ἐστι ἡ τῶν Ἰώνων γνώμη, Ἕλληνάς τε καὶ αὐτοὺς Ἴωνας ἀποδείκνυμι οὐκ ἐπισταμένους

Itaque si nulla eis terra erat, quid curiosi erant, putantes se primos homines extitisse? neque in puerulorum oportuerat eos ire experimentum, quam primam linguam proderent. Ego certe Ægyptios opinor neque cum loco, quem Delta Iones vocant, pariter extitisse, sed semper esse ex quo genus humanum fuit, progressaque terra multos ex eis relictos fuisse, multos vero paulatim descendisse. Ideoque olim Thebæ Ægyptus vocabatur, cujus ambitus est stadiorum sex millium ac centum viginti.

16. Itaque si nos de eis recte sentimus, Iones non recte sentiunt de Ægypto: sin recte Iones sentiunt, ostendo Græcos et ipsos Iones ignaros compu-

λογίζεσθαι· οἵ φασι τρία μόρια εἶναι γῆν πᾶσαν, Εὐρώπην τε καὶ Ἀσίην καὶ Λιβύην. τέταρτον γὰρ σφέας δεῖ προσλογίζεσθαι Αἰγύπτου τὸ Δέλτα, εἰ μή τέ γε ἐστὶ τῆς Ἀσίης, μήτε τῆς Λιβύης. οὐ γὰρ δὴ ὁ Νεῖλός γε ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὁ τὴν Ἀσίην οὐρίζων τῇ Λιβύῃ. τοῦ Δέλτα δὲ τούτου κατὰ τὸ ὀξὺ περιῤῥήγνυται ὁ Νεῖλος· ὥστε ἐν τῷ μεταξὺ Ἀσίης τε καὶ Λιβύης γίνοιτ' ἄν.

ιζ'. Καὶ τὴν μὲν Ἰώνων γνώμην ἀπίεμεν· ἡμεῖς δε ὧδε καὶ περὶ τούτων λέγομεν· Αἴγυπτον μὲν πᾶσαν εἶναι ταύτην τὴν ὑπ' Αἰγυπτίων οἰκεομένην, κατάπερ Κιλικίην, τὴν ὑπὸ Κιλίκων, καὶ Ἀσσυρίην, τὴν ὑπὸ Ἀσσυρίων. οὔρισμα δὲ Ἀσίῃ καὶ Λιβύῃ οἴδαμεν οὐδὲν ἐὸν ὀρθῷ λόγῳ εἰ μὴ τοὺς Αἰγυπτίων οὔρους. εἰ δὲ τῷ ὑπ' Ἑλλήνων νενομισμένῳ χρησόμεθα, νο-

tandi: qui aiunt tria membra totam esse terram, Europam, Asiam, Africam; quartum enim membrum annumerare debent Delta Ægypti, si non sit neque Asiæ, neque Africæ. Nam secundum hanc rationem non est Nilus, qui Asiam ab Africa disterminat: quippe circa acumen illius Delta circumfrangitur Nilus, adeoque in medio Asiæ et Africæ censenda erit.

17. Sed nos Ionum sententiam missam facientes, ita de his dicimus; Ægyptum quidem, eam omnem esse, quæ ab Ægyptiis incolitur quemadmodum Ciliciam eam, quæ a Cilicibus, et Assyriam, quæ ab Assyriis. Sed Asiæ et Africæ scimus recta ratione nullum esse terminum nisi terminos Ægyptiorum. Si vero, quod Græcis persuasum est, sequemur, sentiemus om-

μιοῦμεν Αἴγυπτον πᾶσαν, ἀρξαμένην ἀπὸ Καταδούπων τε καὶ Ἐλεφαντίνης πόλιος, δίχα διαιρέεσθαι, καὶ ἀμφοτέρων τῶν ἐπωνυμιέων ἔχεσθαι. τὰ μὲν γὰρ αὐτῆς, εἶναι τῆς Λιβύης· τὰ δὲ, τῆς Ἀσίης. ὁ γὰρ δὴ Νεῖλος ἀρξάμενος ἐκ τῶν Καταδούπων, ῥέει, μέσην Αἴγυπτον σχίζων, ἐς θάλασσαν. μέχρι μὲν νυν Κερκασώρου πόλιος ῥέει εἷς ἐὼν ὁ Νεῖλος· τὸ δὲ ἀπὸ ταύτης τῆς πόλιος σχίζεται τριφασίας ὁδούς· καὶ ἡ μὲν πρὸς ἠῶ τρέπεται, τὸ καλέεται Πηλούσιον στόμα· ἡ δὲ ἑτέρη τῶν ὁδῶν πρὸς ἑσπέρην ἔχει. τοῦτο δὲ Κανωβικὸν στόμα κέκληται. ἡ δὲ δὴ ἰθέα τῶν ὁδῶν τῷ Νείλῳ ἔστι ἥδε· ἄνωθεν φερόμενος, ἐς τὸ ὀξὺ τοῦ Δέλτα ἀπικνέεται. τὸ δὲ ἀπὸ τούτου, σχίζων μέσον τὸ Δέλτα ἐς θάλασσαν ἐξίει, οὔτε ἐλαχίστην μοίρην τοῦ ὕδατος παρεχόμενος ταύτην,

nem Ægyptum, quæ a Catadupis et Elephantina urbe incepit, bifariam dividi, et utrique cognomini adhærere: aliam enim ejus partem esse Africæ, aliam Asiæ. Quippe Nilus a Catadupis incipiens, mediam scindens Ægyptum, in mare fluit: usque ad Cercasorum quidem urbem fluit unus plane Nilus; inde autem scindit triplices vias. Et quæ quidem ad auroram vergit, Pelusium ostium: altera via ad vesperam tendens, Canobicum ostium nominatum est. Recta autem viarum Nilo, talis est: Delatus ex superioribus, ad acumen Delta pervenit; dehinc medium Delta scindens, in mare exit: non minimam hanc aqua portionem præbens, nec minime celebrem. Seben-

οὔτε ἥκιστα οὐνομαστήν· τὸ καλέεται Σεβεννυτικὸν στόμα. ἔστι δὲ καὶ ἕτερα διφάσια στόματα ἀπὸ τοῦ Σεβεννυτικοῦ ἀποσχισθέντα, φέροντα ἐς θάλασσαν, τοῖσι οὐνόματα κέεται τάδε· τῷ μὲν Σαϊτικὸν αὐτέων τῷ δὲ, Μενδήσιον. τὸ δὲ Βολβίτινον στόμα καὶ τὸ Βουκολικὸν οὐκ ἰθαγενέα στόματά ἐστι, ἀλλ' ὀρυκτά.

ιή. Μαρτυρέει δέ μοι τῇ γνώμῃ ὅτι τοσαύτη ἐστὶ Αἴγυπτος, ὅσην τινὰ ἐγὼ ἀποδείκνυμι τῷ λόγῳ, καὶ τὸ Ἄμμωνος χρηστήριον γενόμενον· τὸ ἐγὼ τῇσι ἐμεωϋτοῦ γνώμῃσι ὕστερον περὶ Αἴγυπτον ἐπυθόμην, οἱ γὰρ δὴ ἐκ Μαρέης τε πόλιος καὶ Ἄπιος οἰκέοντες Αἰγύπτου τὰ πρόσουρα Λιβύῃ, αὐτοί τε δοκέοντες εἶναι Λίβυες, καὶ οὐκ Αἰγύπτιοι, καὶ ἀχθόμενοι τῇ περὶ τὰ ἱρὰ θρησκείῃ, βουλόμενοι θηλέων βοῶν μὴ εἴργεσθαι, ἔπεμψαν ἐς

nyticum ostium appellatur. A Sebennytico item duo alia divisa exstant ostia, in mare ferentia, quibus hæc sunt imposita nomina, uni Saiticum, alteri Mendesium. Nam quod Bolbitinum et quod Bucolicum nominatur, non sunt nativa ostia, sed effossa.

18. Huic meæ opinioni, tantam esse Ægyptum, quantam sermone demonstro, testimonium etiam dat oraculum, quod ab Hammone est redditum: quod ego posterius quam ita in animum induxeram circa Ægyptum audivi. Nam qui ex urbe Marea et Apie incolunt Ægypti partes Africæ confines, qui et ipsi Afri, et non Ægyptii videntur, et perosi sacrorum ceremonias, etiam recusantes bobus feminis prohiberi, miserunt ad

Ἄμμωνα, φάμενοι οὐδὲν σφίσι τε καὶ Αἰγυπτίοισι κοινὸν εἶναι. οἰκέειν τε γὰρ ἔξω τοῦ Δέλτα, καὶ οὐκ ὁμολογέειν αὐτοῖσι· βούλεσθαί τε πάντων σφίσι ἐξεῖναι γεύεσθαι. ὁ δὲ θεὸς σφέας οὐκ ἔα ποιέειν ταῦτα, φὰς Αἴγυπτον εἶναι ταύτην τὴν ὁ Νεῖλος ἐπιὼν ἄρδει· καὶ Αἰγυπτίους εἶναι τούτους, οἳ ἔνερθε Ἐλεφαντίνης πόλιος οἰκέοντες, ἀπὸ τοῦ ποταμοῦ τούτου πίνουσι. οὕτω σφι ταῦτα ἐχρήσθη.

ιθ΄ Ἐπέρχεται δὲ ὁ Νεῖλος, ἐπεὰν πληθύῃ, οὐ μόνον τὸ Δέλτα, ἀλλὰ καὶ τοῦ Λιβυκοῦ τε λεγομένου χωρίου εἶναι, καὶ τοῦ Ἀραβίου ἐνιαχῇ. καὶ ἐπὶ δύο ἡμερέων ἑκατέρωθι ὁδὸν, καὶ πλεῦν ἔτι τούτου, καὶ ἔλασσον. τοῦ ποταμοῦ δὲ φύσιος πέρι, οὔ τέ τι τῶν ἱρέων, οὔτε ἄλλου οὐδενὸς παραλαβεῖν ἐδυνάσθην. πρόθυμος δὲ ἔα

Hammonem, negantes quicquam cum Ægyptiis sibi esse commune. Habitare enim se extra Delta, nec esse ejusdem illis sententiæ, ac velle sibi fas esse omnia gustare. Hæc eos deus facere non permisit, inquiens Agyptum esse eam, quam Nilus supergressus irriget: quique infra urbem Elephantinen incolentes, ex hoc flumine potarent, eos esse Ægyptios. Hæc illis ita oraculo responso sunt.

19. Porro Nilus, ubi plurimus est, non modo Delta inundat, verum etiam aliquid ejus plagæ, quæ dicitur Africana esse, et alicubi Arabicæ: idque utrobique duorum dierum iter, et amplius adhuc eo vel minus. De cujus fluminis natura neque a sacerdotibus quippiam, neque ab alio ullo percipere potui, sed promptissimo fui animo hæc ex

τάδε παρ' αὐτέων πυθέσθαι, ὅτι κατέρχεται μὲν ὁ Νεῖλος πληθύων ἀπὸ τροπέων τῶν θερινέων ἀρξάμενος ἐπὶ ἑκατὸν ἡμέρας· πελάσας δ' ἐς τὸν ἀριθμὸν τουτέων τῶν ἡμερέων ὀπίσω ἀπέρχεται, ἀπολείπων τὸ ῥέεθρον· ὥστε βραχὺς τὸν χειμῶνα ἅπαντα διατελέει ἐὼν, μέχρι οὗ αὖτις τροπέων τῶν θερινέων. τουτέων ὦν πέρι οὐδενὸς οὐδὲν οἷός τ' ἐγενόμην παραλαβεῖν παρὰ τῶν Αἰγυπτίων, ἱστορέων αὐτοὺς ἥντινα δύναμιν ἔχει ὁ Νεῖλος τὰ ἔμπαλιν πεφυκέναι τῶν ἄλλων ποταμῶν. ταῦτά τε δὴ τὰ λελεγμένα βουλόμενος εἰδέναι, ἱστόρεον, καὶ ὅτι αὔρας ἀποπνεούσας μοῦνος πάντων ποταμῶν οὐ παρέχεται.

κ΄. Ἀλλὰ Ἑλλήνων μέν τινες ἐπίσημοι βουλόμενοι γενέσθαι σοφίην, ἔλεξαν περὶ τοῦ ὕδατος τούτου τριφασίας ὁδούς. τῶν τὰς μὲν δύο τῶν ὁδῶν οὐδ' ἀξιῶ μνησθῆναι, εἰ μὴ ὅσον ση-

---

illis cognoscere, cur Nilus aquis abundans defluat, inchoans ab æstivo solstitio, ad centum usque dies, et prope ad numerum horum dierum retrocedat, relinquens fluenta: ita ut per omnem hyemem tenuis esse perseveret ad solstitium rursus æstivum. De horum igitur nullo aliquid omnino potui percipere ab Ægyptiis sciscitando illos, quam vim Nilus haberet, ut natura diversus esset ab ceteris fluviis. Hæc ego quæ celebrata sunt noscendi cupidus, eos interrogabam, et cur solus omnium amnium nullas efflantes auras præberet.

20. De qua tamen aqua quidam Græcorum, quum insignes vellent haberi sapientia, trifariam disseruerunt; quarum opi-

μῆναι βουλόμενος μοῦνον. τῶν ἡ ἑτέρη μὲν λέγει τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμὸν, κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον. πολλάκις δὲ ἐτησίαι μὲν οὔκων ἔπνευσαν, ὁ δὲ Νεῖλος τὠϋτὸ ἐργάζεται. πρὸς δὲ, εἰ ἐτησίαι αἴτιοι ἦσαν, χρῆν καὶ τοὺς ἄλλους ποταμοὺς, ὅσοι τοῖσι ἐτησίῃσι ἀντίοι ῥέουσι, ὁμοίως πάσχειν καὶ κατὰ τὰ αὐτὰ τῷ Νείλῳ· καὶ μᾶλλον ἔτι τοσούτῳ, ὅσῳ ἐλάσσονες ἐόντες, ἀσθενέστερα τὰ ῥεύματα παρέχονται. εἰσὶ δὲ πολλοὶ μὲν ἐν τῇ Συρίῃ ποταμοὶ, πολλοὶ δὲ ἐν τῇ Λιβύῃ, οἳ οὐδὲν τοιοῦτον πάσχουσι οἷόν τι καὶ ὁ Νεῖλος.

κα΄. Ἡ δὲ ἑτέρη, ἀνεπιστημονεστέρη μὲν ἐστι τῆς λελεγμένης, λόγῳ δὲ εἰπεῖν, θωϋμασιωτέρη· ἣ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ ῥέοντα αὐτὸν

---

nionum duas ne mentione quidem dignas existimo, nisi eatenus, ut illas tantum velim significare. Earum una ait, ventos etesias esse in causa cur fluvius crescat, prohibentes Nilum effluere in mare. Atqui crebro etesiæ non spiraverunt, et tamen Nilus idem agit. Ad hæc si etesiæ in causa forent, oporteret aliis quoque fluminibus, quæcunque etesiis adversa fluunt, similiter aliquid contingere, et idem quod Nilo, et eo adhuc magis, quo tenuiora quum sint, imbecilliores fluctus exhibent. Sunt autem multa in Syria, multa in Africa flumina, quæ nihil tale patiuntur quale quid etiam Nilus.

21. Altera est insipientior quidem, quam hæc quæ dicta est; ut tamen dicatur, quod res est, admirabilior, quæ ait illum,

ταῦτα μηχανᾶσθαι. τὸν δ' Ὠκεανὸν γῆν περὶ πᾶσαν ῥέειν.

κβ'. Ἡ δὲ τρίτη τῶν ὁδῶν πολλὸν ἐπιεικεστάτη ἐοῦσα, μάλιστα ἔψευσται. λέγει γὰρ δὴ οὐδ' αὐτὴ οὐδὲν, φαμένη τὸν Νεῖλον ῥέειν ἀπὸ τηκομένης χιόνος· ὃς ῥέει μὲν ἐκ Λιβύης διὰ μέσων Αἰθιόπων ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. κῶς ὦν δῆτα ῥέοι ἂν ἀπὸ χιόνος, ἀπὸ τῶν θερμοτάτων τόπων ῥέων ἐς τὰ ψυχρότερα; τῶν τὰ πολλά ἐστι ἀνδρί γε λογίζεσθαι τοιούτων πέρι οἵῳ τε ἐόντι ὡς οὐδὲ εἰκὸς ἀπὸ χιόνος μιν ῥέειν· πρῶτον μὲν καὶ μέγιστον μαρτύριον οἱ ἄνεμοι παρέχονται, πνέοντες ἀπὸ τῶν χωρίων τουτέων θερμοί. δεύτερον δὲ, ὅτι ἄνομβρος ἡ χώρη, καὶ ἀκρύσταλλος διατελέει ἐοῦσα. ἐπὶ δὲ χιόνι πεσούσῃ, πᾶσα ἀνάγκη ἐστὶ

---

quod ab Oceano fluat, istud efficere: Oceanum vero circumfluere omnem terram.

22. Tertia opinio, ut multo modestissima, ita longe falsissima est: quippe quæ et ipsa nihil dicit, inquiens e nive liquescente manare Nilum: qui quum ex Africa per medios Æthiopes fluens in Ægyptum evadat, ex locis calidissimis ad frigidiora, quomodo ab nive flueret? De quibus multa sane sunt, quæ quis ad talia validus conjectare possit, non esse probabile, eum manare de nive: primum ac maximum testimonium perhibentibus ventis, qui ab his regionibus calidi spirant. Secundum, quod ea plaga sine imbribus et sine glacie perpetuo est; super nivem autem quæ

ὗσαι ἐν πέντε ἡμέρῃσι ὥστε εἰ ἐχιόνιζε, ὗετ' ἂν ταῦτα τὰ χωρία. τρίτα δὲ, οἱ ἄνθρωποι ὑπὸ τοῦ καύματος μέλανες ἐόντες· ἰκτῖνοι δὲ καὶ χελιδόνες δι' ἔτεος ἐόντες οὐκ ἀπολείπουσι. γέρανοι δὲ φεύγουσαι τὸν χειμῶνα τὸν ἐν τῇ Σκυθικῇ χώρῃ γενόμενον, φοιτῶσι ἐς χειμασίην ἐς τοὺς τόπους τούτους. εἰ τοίνυν ἐχιόνιζε εἰ καὶ ὁσονῶν ταύτην τὴν χώρην δι' ἧς τε ῥέει καὶ ἐκ τῆς ἄρχεται ῥέων ὁ Νεῖλος, ἦν ἂν τούτων οὐδὲν, ὡς ἡ ἀνάγκη ἐλέγχει.

κγ΄. Ὁ δὲ περὶ τοῦ Ὠκεανοῦ λέξας, ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας, οὐκ ἔχει ἔλεγχον. οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν Ὠκεανὸν ἐόντα· Ὅμηρον δὲ, ἤ τινα τῶν πρότερον γενομένων ποιητέων, δοκέω τὸ οὔνομα εὑρόντα ἐς τὴν ποίησιν ἐσενείκασθαι.

---

cecidit, necesse omnino est intra quinque dies pluere: quare si in his regionibus ningeret, etiam plueret. Tertium, homines ab æstu nigri; et milvi, atque hirundines illic perennare non desinunt; grues quoque, hyemem Scythicæ plagæ fugientes, ad hæc loca se conferunt hybernatum. S igitur vel quantulumcunque ningeret in ea plaga, per quam fluit et ex qua fluere incipit Nilus, profecto nihil horum esset, quemadmodum necessitas arguit.

23. At is qui de Oceano loquutus fuit, ad occultum deferens fabulam caret evictione. Neque enim ego ullum novi fluvium, qui sit Oceanus, sed hoc nomen opinor Homerum, aut aliquem antiquiorum poëtarum quum invenisset, in poëticum intulisse.

κδ΄. Εἰ δὲ δεῖ μεμψάμενον γνώμας τὰς προκειμένας, αὐτὸν περὶ τῶν ἀφανέων ἀποδέξασθαι, φράσω διότι μοι δοκέει πληθύεσθαι ὁ Νεῖλος τοῦ θέρεος. τὴν χειμερινὴν ὥρην ἀπελαυνόμενος ὁ ἥλιος ἐκ τῆς ἀρχαίης διεξόδου ὑπὸ τῶν χειμώνων, ἔρχεται τῆς Λιβύης τὰ ἄνω. ὡς μέν νυν ἐν ἐλαχίστῳ δηλῶσαι, πᾶν εἴρηται· τῆς γὰρ ἂν ἀγχοτάτω ἦ χώρης οὗτος ὁ θεὸς, καὶ κατ᾽ ἥντινα, ταύτην οἰκὸς διψῆν τε ὑδάτων μάλιστα, καὶ τὰ ἐγχώρια ῥεύματα μαραίνεσθαι τῶν ποταμῶν.

κε΄. Ὡς δὲ ἐν πλέονι λόγῳ δηλῶσαι, ὧδε ἔχει. διεξιὼν τῆς Λιβύης τὰ ἄνω ὁ ἥλιος, τάδε ποιέει, ἅτε διὰ παντὸς τοῦ χρόνου αἰθρίου τε ἐόντες τοῦ ἠέρος τοῦ κατὰ ταῦτα τὰ χωρία, καὶ ἀλεεινῆς τῆς χώρης ἐούσης, οὐκ ἐόντων ἀνέ-

---

24. Quod si opiniones, quas proposui, improbantem me ipsum oportet de illis occultis ferre sententiam, dicam quare mihi videatur abundare Nilus æstate. Hyberno tempore sol depulsus a vetere meatu per hyemes incedit superiora Africæ. Ut quidem ergo brevissime demonstrando, totum dictum est. Etenim deus hic cuicunque regioni proximus existat, et circa quamcunque, eam maxime sitire aquas credibile est, et scaturigines indigenas animum arescere.

25. Ut autem pluribus verbis demonstretur, ita habet. Sol Africæ superiora permeans, ea efficit; nam quum per omne tempus sit serenus aër in istis regionibus, et ipsa regio calida, nec venti frigidi, peragrans fa-

μων ψυχρῶν, διεξιὼν, ποιέει οἷόνπερ καὶ τὸ θέρος ἐώθεε ποιέειν, ἰὼν τὸ μέσον τοῦ οὐρανοῦ. ἕλκει γὰρ ἐπ' ἑωϋτὸν τὸ ὕδωρ· ἑλκύσας δὲ, ἀπωθέει ἐς τὰ ἄνω χωρία· ὑπολαμβάνοντες δὲ οἱ ἄνεμοι, καὶ διασκιδνάντες τήκουσι· καὶ εἰσι οἰκότως οἱ ἀπὸ ταύτης τῆς χώρης πνέοντες, ὅ, τε νότος, καὶ ὁ λὶψ, ἀνέμων πολλὸν τῶν πάντων ὑετώτατοι. δοκέει δέ μοι οὐδὲ πᾶν τὸ ὕδωρ τὸ ἐπέτειον ἑκάστοτε ἀποπέμπεσθαι τοῦ Νείλου ὁ ἥλιος, ἀλλὰ καὶ ἀπολείπεσθαι περὶ ἑωϋτόν. πρηϋνομένου δὲ τοῦ χειμῶνος, ἀπέρχεται ὁ ἥλιος ἐς μέσον τὸν οὐρανὸν ὀπίσω· καὶ τὸ ἐνθεῦτεν ἤδη ὁμοίως ἀπὸ πάντων ἕλκει τῶν ποταμῶν. τέως δὲ οἱ μὲν, ὀμβρίου ὕδατος συμμισγομένου πολλοῦ αὐτοῖσι, ἅτε ὑομένης τε τῆς χώρης καὶ κεχαραδρωμένης, ῥέουσι μεγάλοι· τοῦ δὲ θέρος τῶν τε ὄμβρων ἐπιλειπόντων αὐτοὺς, καὶ

cit, quale æstate facere consuevit means medium cœli; ad se enim trahit aquam, tractamque in superna abigit loca; quam suscipientes venti ac dissipantes liquefaciunt; et sunt probabiliter ab hac regione flantes, auster et africus, multo ventorum omnium pluviosissimi, Quanquam mihi videtur non omnem humorem annuum Nili sol dimittere, sed et penes seipsum reservare. Idem, mitigata hyeme, rursus in medium cœlum regreditur, atque illinc jam itidem ex cunctis fluminibus trahit; quæ mox, multa illis pluviali aqua ex imbribus commixta, utpote terra per pluvias madefacta et lacunosa, magna fluunt: at æstate, quum destituantur ab imbribus, et a sole trahantur, imbecilla

ὑπὸ τοῦ ἡλίου ἑλκόμενοι, ἀσθενέες εἰσί. ὁ δὲ Νεῖλος, ἐὼν ἄνομβρος, ἑλκόμενος δὲ ὑπὸ τοῦ ἡλίου, μοῦνος ποταμῶν τοῦτον τὸν χρόνον οἰκότως αὐτὸς ἑωϋτοῦ ῥέει πολλῷ ὑποδεέστερος ἢ τοῦ θέρεος. τότε μὲν γὰρ μετὰ πάντων τῶν ὑδάτων ἴσον ἕλκεται, τὸν δὲ χειμῶνα, μοῦνος πιέζεται. οὕτω τὸν ἥλιον νενόμικα τούτων αἴτιον εἶναι.

κϛʹ. Αἴτιος δὲ ὡϋτὸς οὗτος κατὰ γνώμην τὴν ἐμὴν, καὶ τὸν ἠέρα ξηρὸν τὸν ταύτῃ εἶναι, διακαίων τὴν διέξοδον αὐτοῦ. οὕτω τῆς Λιβύης τὰ ἄνω θέρος αἰεὶ κατέχει. εἰ δὲ ἡ στάσις ἤλλακτο τῶν ὡρέων, καὶ τοῦ οὐρανοῦ, τῇ μὲν νῦν ὁ βορέης τε καὶ ὁ χειμὼν ἑστᾶσι, ταύτῃ μὲν τοῦ νότου ἦν ἡ στάσις, καὶ τῆς μεσαμβρίης, τῇ δὲ ὁ νότος νῦν ἕστηκε, ταύτῃ δὲ ὁ βορέης· εἰ ταῦτα οὕτως εἶχε, ὁ ἥλιος ἂν ἀπελαυνόμενος

---

sunt. Nilus autem qui imbribus caret, sed qui trahitur a sole, merito solus fluviorum eo tempore fluit multo exilior quam per æstatem. Tunc enim peræque trahitur atque omnes aquæ, per hyemem vero solus urgetur. Ita solem censui harum rerum esse causam.

26. Idem iste, mea sententia, auctor est aëris sicci in ea regione, dum perurit transitum istius. Ita semper Africæ superiora æstas obtinet. Quod si temporum statio immutaretur, et in qua cœli parte nunc aquilo situs est et hyems, ibi austri situs esset et meridiei: et ubi nunc auster locatus est, illic aquilo esset: si hæc ita haberent, profecto

ἐκ μέσου τοῦ οὐρανοῦ ὑπὸ τοῦ χειμῶνος καὶ τοῦ βορέω, ἤϊε ἂν τὰ ἄνω τῆς Εὐρώπης κατάπερ νῦν τῆς Λιβύης ἔρχεται. διεξιόντα δ' ἄν μιν διὰ πάσης Εὐρώπης, ἔλπομαι ποιέειν ἂν τὸν Ἴστρον τά περ νῦν ἐργάζεται τὸν Νεῖλον.

κζ'. Τῆς αὔρης δὲ πέρι, ὅτι οὐκ ἀποπνέει, τήνδε ἔχω γνώμην, ὡς κάρτα ἀπὸ θερμῶν χωρέων, οὐκ οἰκός ἐστι οὐδὲν ἀποπνέειν. αὔρη δὲ ἀπὸ ψυχροῦ τινὸς φιλέει πνέειν.

κη'. Ταῦτα μέν νυν ἔστω ὡς ἔστι τε καὶ ὡς ἀρχὴν ἐγένετο. τοῦ δὲ Νείλου τὰς πηγὰς οὔτε Αἰγυπτίων, οὔτε Λιβύων, οὔτε Ἑλλήνων τῶν ἐμοὶ ἀπικομένων ἐς λόγους, οὐδεὶς ὑπέσχετο εἰδέναι, εἰ μὴ ἐν Αἰγύπτῳ ἐν Σάϊ πόλει ὁ γραμματιστὴς τῶν ἱρῶν χρημάτων τῆς Ἀθη-

---

sol amotus e medio cœlo ab hyeme et aquilone, mearet superna Europæ, quemadmodum nunc Africæ: peragransque omnem Europam, faceret, opinor, eadem in Istro, quæ nunc facit in Nilo.

27. De aura autem, quæ nulla efflat, hoc mea fert opinio: valde consentaneum esse, e locis fervidis nihil exspirare auræ: quippe quæ ab aliquo frigido flare gaudet.

28. Verum hæc ita sint quemadmodum et sunt, et ab initio fuere; Nili tamen fontes nemo neque Ægyptiorum, neque Afrorum, neque Græcorum, qui in colloquium mecum venerunt, se nosse professus est, præter scribam sacrarum Minervæ rerum in Ægypto, in

ναίης. οὗτος δ' ἐμοίγε παίζειν ἐδόκεε, φάμενος εἰδέναι ἀτρεκέως. ἔλεγε δὲ ὧδε· εἶναι δύο οὔρεα ἐς ὀξὺ τὰς κορυφὰς ἀπιγμένα, μεταξὺ Συήνης τε πόλιος κείμενα τῆς Θηβαΐδος, καὶ Ἐλεφαντίνης· οὐνόματα δὲ εἶναι τοῖσι οὔρεσι, τῷ μὲν, Κρῶφι, τῷ δὲ, Μῶφι. τὰς ὦν δὴ πηγὰς τοῦ Νείλου ἐούσας ἀβύσσους, ἐκ τοῦ μέσου τῶν οὐρέων τουτέων ῥέειν. καὶ τὸ μὲν ἥμισυ τοῦ ὕδατος, ἐπ' Αἰγύπτου ῥέειν, καὶ πρὸς βορέην ἄνεμον· τὸ δ' ἕτερον ἥμισυ, ἐπ' Αἰθιοπίης τε καὶ νότου. ὡς δὲ ἄβυσσοί εἰσὶ αἱ πηγαὶ, ἐς διάπειραν ἔφη τούτου Ψαμμήτιχον Αἰγύπτου βασιλέα ἀπικέσθαι. πολλέων γὰρ αὐτὸν χιλιάδων ὀργυιέων πλεξάμενον κάλον, κατεῖναι ταύτῃ, καὶ οὐκ ἐξικέσθαι ἐς βυσσόν. οὕτω μὲν δὴ ὁ γραμματιστὴς, εἰ ἄρα ταῦτα γενόμενα

---

urbe Saï: qui mihi jocari videbatur, affirmans se id procul dubio nosse. Sic autem dicebat, geminos esse montes, cacuminibus in acutum tendentibus, in medio Syenes urbis positos Thebaidis, et Elephantinæ: quorum uni nomen esset Crophi, alteri Mophi, et ex istorum montium medio Nili fontes abyssos, *hoc est, sine fundo*, fluere; cujus aquæ dimidium Ægyptum versus et ventum aquilonem flueret, reliquum dimidium Æthiopiam versus atque austrum. Quod autem abyssi forent fontes, ajebat Psammetichum Ægypti regem periculum hujus rei fecisse: nam fune mensuræ, quæ quatuor cubitorum est, millenas plurimas continente nexo, ibi eum demisisse, tamen ad fundum non devenisse. Sic quidem scirba hic, si modo hæc, ut

ἔλεγε, ἀπέφαινε· ὡς ἐμὲ κατανοέειν δίνας τινὰς ταύτῃ ἐούσας ἰσχυρὰς, καὶ παλιῤῥοίην οἷα δὲ ἐμβαλόντος τοῦ ὕδατος τοῖσι οὔρεσι, μὴ δύνασθαι κατιεμένην καταπειρητηρίην ἐς βυσσὸν ἰέναι.

κθ΄. Ἄλλου δὲ οὐδενὸς οὐδὲν ἐδυνάμην πυθέσθαι. ἀλλὰ τοσόνδε μὲν ἄλλο ἐπὶ μακρότατον ἐπυθόμην, μέχρι μὲν Ἐλεφαντίνης πόλιος αὐτόπτης ἐλθὼν, τὸ δ᾽ ἀπὸ τούτου, ἀκοῇ ἤδη ἱστορέων. ἀπὸ Ἐλεφαντίνης πόλιος ἄνω ἰόντι, ἀναντές ἐστι χωρίον· ταύτῃ ὦν δεῖ τὸ πλοῖον διαδήσαντας ἀμφοτέρωθεν, κατάπερ βοῦν, πορεύεσθαι· ἢν δὲ ἀποῤῥαγῇ, τὸ πλοῖον οἴχεται φερόμενον ὑπὸ ἰσχύος τοῦ ῥόου. τὸ δὲ χωρίον τοῦτο, ἔστι ἐπὶ ἡμέρας τέσσερας πλόος. σκολιὸς δὲ ταύτῃ, κατάπερ ὁ Μαίανδρός ἐστι ὁ Νεῖ-

---

contingunt, dicebat, declarabat: ut ego opiner vortices quosdam illic esse validos, ac refluxum quippe aquæ insultantis montibus, unde nequeat funis ad explorandum demissus ire in fundum. Aliud ab ullo quoquam audire non potui.

29. Sed tale quidem aliud ad longissimum indagavi usque ad Elephantinam urbem ipse ad inspiciendum profectus; quod inde alterius est, audiendo iam inquirens. Ab urbe Elephantina ad superiora eunti est locus acclivis, ubi necesse sit, navigio utrinque alligato, tanquam bove, pergere: et, si abrumpatur, abire navigium, raptum fluxus impetu. Abest autem hic locus quatuor dierum navigatione: estque ibi Nilus tortuosus ve-

λος. σχοῖνοι δὲ δυώδεκά εἰσι οὗτοι, τοὺς δεῖ τούτῳ τῷ τρόπῳ διεκπλῶσαι. καὶ ἔπειτα ἀπίξεαι ἐς πεδίον λεῖον, ἐν τῷ νῆσον περιῤῥέει ὁ Νεῖλος, Ταχομψὼ οὔνομα αὐτῇ ἐστι. οἰκέουσι δὲ τὰ ἀπὸ Ἐλεφαντίνης ἄνω Αἰθίοπες ἤδη, καὶ τῆς νήσου τὸ ἥμισυ· τὸ δὲ ἥμισυ, Αἰγύπτιοι. ἔχεται δὲ τῆς νήσου λίμνη μεγάλη, τὴν πέριξ νομάδες Αἰθίοπες νέμονται. τὴν διεκπλώσας, ἐς τοῦ Νείλου τὸ ῥέεθρον ἥξεις, τὸ ἐς τὴν λίμνην ταύτην ἐκδιδοῖ, καὶ ἔπειτα ἀποβὰς, παρὰ τὸν ποταμὸν ὁδοιπορίην ποιήσεαι ἡμερέων τεσσεράκοντα. σκόπελοί τε γὰρ ἐν τῷ Νείλῳ ὀξέες ἀνέχουσι, καὶ χοιράδες πολλαί εἰσι, δι' ὧν οὐκ οἷά τέ ἐστι πλέειν. διεξελθὼν δὲ ἐν τῇσι τεσσεράκοντα ἡμέρῃσι τοῦτο τὸ χωρίον, αὖτις ἐς ἕτερον πλοῖον ἐμβὰς, δυώδεκα

---

luti Mæander, et sunt hi duodecim schœni, quos hunc in modum enavigare oportet, et postea pervenire planum in campum, ubi sit insula Nilo circumflua, nomine Tachompso. Ab Elephantina vero superiora iam Æthiopes incolunt et dimidium insulæ: nam alterum dimidium Ægyptii. Insulæ contingua est ingens palus, accolentibus circum Æthiopibus pastoribus: quam navigando trajiciens venies in Nili alveum, qui in paludem istam effunditur. Deinde egressus, itinere pedestri quadraginta dierum perges propter flumen; nam in Nilo acuti scopuli surgunt et saxa frequentia, per quæ navigare non licet. Peragrato in quadraginta diebus eo loco, alterum rursus ingressus navigium, duodecim diebus subveheris, et postea venies in

ἡμέρας πλεύσεαι· καὶ ἔπειτα ἵξεαι ἐς πόλιν μεγάλην, τῇ οὔνομά ἐστι Μερόη. λέγεται δὲ αὕτη ἡ πόλις εἶναι μητρόπολις τῶν ἄλλων Αἰθιόπων. οἱ δ' ἐν ταύτῃ, Δία θεῶν καὶ Διόνυσον μούνους σέβονται, τούτους τε μεγάλως τιμῶσι· καί σφι μαντήϊον Διὸς κατέστηκε. στρατεύονται δ' ἐπεὰν σφέας ὁ θεὸς οὗτος κελεύῃ διὰ θεσπισμάτων· καὶ τῇ ἂν κελεύῃ, ἐκεῖσε.

λ'. Ἀπὸ δὲ ταύτης τῆς πόλιος πλέων ἐν ἴσῳ χρόνῳ ἄλλῳ, ἥξεις ἐς τοὺς Αὐτομόλους, ἐν ὅσῳπερ ἐξ Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν τὴν Αἰθιόπων. τοῖσι δὲ Αὐτομόλοισι τούτοισι οὔνομά ἐστι Ἀσμάχ· δύναται δὲ τοῦτο τὸ ἔπος, κατὰ τὴν Ἑλλήνων γλῶσσαν, οἱ ἐξ ἀριστερῆς χειρὸς παριστάμενοι βασιλέϊ. ἀπέστησαν δὲ αὗται τέσσερες καὶ εἴκοσι μυριάδες Αἰγυπτίων τῶν μαχίμων ἐς τοὺς Αἰθιο-

oppidum magnum nomine Meroën, quæ urbs fertur aliorum Æthiopum esse metropolis. Cujus incolæ solos deorum colunt Jovem et Liberum, eosque magnopere venerantur. Jovis etiam illis adest oraculum, cujus Dei responsis, posteaquam jubentur, et quocunque jubentur eo sumunt expeditionem.

30. Ab hac urbe, per alterum tantum temporis, quo ad ipsam Æthiopum metropolin ex Elephantina pervenisti, navigando pervenies ad Automolos, quibus Automolis nomen est Asmach: quod verbum Græca in lingua idem pollet, quod ab sinistra manu regi assistentes. Isti quum essent Ægyptii bellatores, ducenta et quadraginta millia, ad hos Æthiopas transiere hac de

τας τούτους, δι' αἰτίην τοιήνδε. ἐπὶ Ψαμμητίχου βασιλέος φυλακαὶ κατέστασαν ἔν τε Ἐλεφαντίνῃ πόλι πρὸς Αἰθιόπων, καὶ ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι, ἄλλη δὲ πρὸς Ἀραβίων καὶ Σύρων, καὶ ἐν Μαρέῃ πρὸς Λιβύης ἄλλη. ἔτι δὲ ἐπ' ἐμεῦ καὶ Περσέων κατὰ ταυτὰ αἱ φυλακαὶ ἔχουσι ὡς καὶ ἐπὶ Ψαμμητίχου ἦσαν· καὶ γὰρ ἐν Ἐλεφαντίνῃ Πέρσαι φρουρέουσι, καὶ ἐν Δάφνῃσι. τοὺς ὦν δὴ Αἰγυπτίους τρία ἔτεα φρουρήσαντας ἀπέλυε οὐδεὶς τῆς φρουρῆς· οἱ δὲ βουλευσάμενοι, καὶ κοινῷ λόγῳ χρησάμενοι, πάντες ἀπὸ τοῦ Ψαμμητίχου ἀποστάντες, ἤϊσαν ἐς Αἰθιοπίην. Ψαμμήτιχος δὲ πυθόμενος, ἐδίωκε. ὡς δὲ κατέλαβε, ἐδέετο, πολλὰ λέγων, καί σφεας θεοὺς πατρώους ἀπολιπεῖν, οὐκ ἔα, καὶ τέκνα, καὶ

---

causa. Sub rege Psammeticho fuerant in præsidiis collocati, alii in urbe Elephantina adversus Æthiopas, et ad Daphnas Pelusias alii adversus Arabes et Syros, alii in Marea adversus Africam. Mea adhuc ætate etiam per eadem loca Persarum præsidia locantur, quemadmodum sub rege Psammeticho erant; nam et apud Elephantinam, et apud Daphnas Persæ excubias agunt. Quum igitur triennium in præsidio fuissent Ægyptii, neque vices eorum aliqui exciperent, communi usi consilio, a Psammeticho ad Æthiopiam sibi transeundum omnes putaverunt. Quos, re audita, Psammetichus insequutus, et ubi est assequutus, multis verbis obsecrabat,

γυναῖκας· τῶν δέ τινα λέγεται δείξαντα τὸ αἰδοῖον εἰπεῖν, ἔνθα ἂν τοῦτο ᾖ, ἔσεσθαι αὐτοῖσι ἐνθαῦτα καὶ τέκνα καὶ γυναῖκας. οὗτοι ἐπεί τε ἐς Αἰθιοπίην ἀπίκοντο, διδοῦσί σφεας ἑωϋτοὺς τῷ Αἰθιόπων βασιλέϊ. ὁ δέ σφεας τῷδε ἀντιδωρέεται. ἦσαν οἱ διάφοροί τινες γεγονότες τῶν Αἰθιόπων· τούτους ἐκέλευε ἐξελόντας, τὴν ἐκείνων γῆν οἰκέειν. τούτων δὲ ἐσοικισθέντων ἐς τοὺς Αἰθίοπας, ἡμερώτεροι γεγόνασι Αἰθίοπες, ἤθεα μαθόντες Αἰγύπτια.

λα΄. Μέχρι μέν νυν τεσσέρων μηνῶν πλόου καὶ ὁδοῦ, γινώσκεται ὁ Νεῖλος, πάρεξ τοῦ ἐν Αἰγύπτῳ ῥεύματος. οὗτοι γὰρ συμβαλλομένῳ μῆνες εὑρίσκονται ἀναισιμούμενοι ἐξ Ἐλεφαντίνης πορευομένῳ ἐς τοὺς Αὐτομόλους τούτους· ῥέει δὲ ἀπὸ ἑσπέρης τε καὶ ἡλίου δυ-

---

dehortabaturque patrios deos ac liberos uxoresque deserere. Ibi quidam illorum fertur ostenso veretro dixisse, ubicunque id esset, illic etiam sibi uxores et liberos fore. Hi posteaquam in Æthiopiam profecti sunt; sese Æthiopum regi tradiderunt: quos ille ita remuneratus est. Erant ei nonnulli Æthiopum dissidentes, quos quum sustulissent, terram illorum jussit istos incolere. Æthiopes, his colonis inter se collocatis, facti sunt mansuetiores, moribus Ægyptiacis imbuti.

31. Ad quatuor igitur mensium partim navigationem, partim iter, cognoscitur Nilus, præter id quo fluit per Ægyptum. Tot enim menses computanti reperiuntur impendi ab eo, qui ex Elephantina ad hos Automolos pergat. Fluit autem ab

σμέων. τὸ δὲ ἀπὸ τοῦδε, οὐδεὶς ἔχει σαφέως φράσαι. ἔρημος γάρ ἐστι ἡ χώρη αὕτη ὑπὸ καύματος.

λϐʹ. Ἀλλὰ τάδε μὲν ἤκουσα ἀνδρῶν Κυρηναίων, φαμένων ἐλθεῖν τε ἐπὶ τὸ Ἄμμωνος χρηστήριον, καὶ ἀπικέσθαι ἐς λόγους Ετεάρχῳ τῷ Ἀμμωνίων βασιλέϊ· καί κως ἐκ λόγων ἄλλων ἀπικέσθαι ἐς λέσχην περὶ τοῦ Νείλου, ὡς οὐδεὶς αὐτοῦ οἶδε τὰς πηγάς· καὶ τὸν Ἐτέαρχον φάναι ἐλθεῖν κοτε παρ' αὐτὸν Νασαμῶνας ἄνδρας. τὸ δὲ ἔθνος τοῦτό ἐστι μὲν Λιϐυκὸν, νέμεται δὲ τὴν Σύρτιν τε καὶ τὴν πρὸς ἠῶ χώρην τῆς Σύρτιος οὐκ ἐπὶ πολλόν. ἀπικομένους δὲ τοὺς Νασαμῶνας, καὶ εἰρωτεωμένους εἴ τι ἔχουσι πλέον λέγειν περὶ τῶν ἐρήμων τῆς Λιϐύης, φάναι παρὰ σφίσι γενέσθαι ἀνδρῶν δυναστέων παῖδας ὑϐριστάς·

---

vespera et solis occasu: ultra quid sit, nemo potest pro comperto narrare; est enim deserta præ fervore ea regio.

32. Sed hæc quidem accepi ex quibusdam Cyrenæis, qui se ad Ammonis oraculum isse commemorabant, colloquutosque cum Etearcho Ammoniorum rege, et ex aliis sermonibus devenisse in confabulationem de Nilo, tanquam nemo nosceret ejus fontes: Etearchumque narrasse, aliquando quosdam ad se venisse Nasamonas, quæ gens est Africana, Syrtim incolens, et oram Syrtis, quæ vergit ad auroram non multum. Eos, quum venissent, interrogarenturque nunquid amplius haberent referre de Africæ desertis, retulisse, apud se fuisse quosdam

τοὺς ἄλλα τε μηχανᾶσθαι ἀνδρωθέντας περισσὰ, καὶ δὴ καὶ ἀποκληρῶσαι πέντε ἑωϋτῶν, ὀψομένους τὰ ἔρημα τῆς Λιβύης, καὶ εἴ τι πλέον ἴδοιεν τῶν τὰ μακρότατα ἰδομένων. τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν βορηΐην θάλασσαν, ἀπ᾽ Αἰγύπτου ἀρξάμενοι μέχρι Σολόεντος ἄκρης, ἣ τελευτᾷ τῆς Λιβύης, παρήκουσι παρὰ πᾶσαν Λίβυες, καὶ Λιβύων ἔθνεα πολλὰ πλὴν ὅσον Ἕλληνες καὶ Φοίνικες ἔχουσι· τὰ δ᾽ ὑπὲρ θαλάσσης τε καὶ τῶν ἐπὶ θάλασσαν κατηκόντων ἀνθρώπων, τὰ κατύπερθε θηριώδης ἐστὶ ἡ Λιβύη. τὰ δὲ κατύπερθε τῆς θηριώδεος ψάμμος τέ ἐστι, καὶ ἄνυδρος δεινῶς, καὶ ἔρημος πάντων. ἐπεὶ ὦν τοὺς νεηνίας ἀποπεμπομένους ὑπὸ τῶν ἡλίκων, ὕδασί τε καὶ σιτίοισι εὖ ἐξηρτυμένους, ἰέναι τὰ πρῶτα

---

virorum præpotentium filios petulantes: eos, quum in virilem ætatem adolevissent, cum alia supervacua fuisse machinatos, tum vero ex ipsis quinque sortito separavisse ad inspiciundas Africæ solitudines, et siquid amplius visuri essent, quam ii qui longissima inspexissent. Oram enim Africæ mari septentrionali obversam Libyes et Libyum multæ gentes ab Ægypto incipientes omnem prætexunt usque ad promontorium Soloëntem, quod Africæ extremum est, præter id quod aut Græci obtinent, aut Phœnices: at supra maritimam oram, et eos homines, qui ad mare pertinent, ab feris ulterior Africa habetur: at ultra plagam a feris insessam, arena est, vehementerque arida, ac prorsus vasta. Igitur eos juvenes ab æqualibus

μὲν διὰ τῆς οἰκεομένης· ταύτην δὲ διεξελθόντας, ἐς τὴν θηριώδεα ἀπικέσθαι· ἐκ δὲ ταύτης, τὴν ἔρημον διεξιέναι, τὴν ὁδὸν ποιευμένους πρὸς ζέφυρον ἄνεμον· διεξελθόντας δὲ χῶρον πολλὸν ψαμμώδεα, καὶ ἐν πολλῇσι ἡμέρῃσι, ἰδεῖν δή κοτε δένδρεα ἐν πεδίῳ πεφυκότα· καί σφεας προσελθόντας, ἅπτεσθαι τοῦ ἐπεόντος ἐπὶ τῶν δενδρέων καρποῦ· ἁπτομένοισι δέ σφι ἐπελθεῖν ἄνδρας μικροὺς, μετρίων ἐλάσσονας ἀνδρῶν· λαβόντας δὲ ἄγειν σφέας. φωνῆς δὲ οὔτέ τι τῆς ἐκείνων τοὺς Νασαμῶνας γινώσκειν, οὔτε τοὺς ἄγοντας τῶν Νασαμώνων. ἄγειν τε δὴ αὐτοὺς δι' ἑλέων μεγίστων· καὶ διεξελθόντας ταῦτα, ἀπικέσθαι ἐς πόλιν, ἐν τῇ ἅπαντας εἶναι τοῖσι ἄγουσι τὸ μέγαθος ἴσους, χρῶμα δὲ μέλανας. παρὰ δὲ τὴν πόλιν ῥέειν

---

dimissos, aquis atque cibariis probe instructos, primum per regionem ivisse habitatam; hanc permensos, in illam ferinam pervenisse; ex ea per solitudinem transivisse iter facientes ad ventum zephyrum; peragratoque multo spatio sabulosæ regionis et pluribus sane diebus, aspexisse demum arbores in planitie natas, et ipsos accessisse, ac fructum qui inerat decerpsisse; eisque inter decerpendum supervenisse quosdam infra mediocrem virorum staturam pusillos, arreptosque duxisse illos, quorum linguam Nasamones non cognoscebant, ut nec Nasamonum illi qui ducebant: et ab his ductos fuisse per maximas paludes: atque illas transgressos pervenisse in urbem, in qua universi forent æquali statura illis, qui duxissent, colore nigro:

ποταμὸν μέγαν. ῥέειν δὲ ἀπὸ ἑσπέρης αὐτὸν πρὸς ἥλιον ἀνατέλλοντα· φαίνεσθαι δὲ ἐν αὐτῷ κροκοδείλους·

λγ΄. Ὁ μὲν δὴ τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος ἐς τοῦτό μοι δεδηλώσθω· πλὴν ὅτι ἀπονοστῆσαί τε ἔφασκε τοὺς Νασαμῶνας, ὡς οἱ Κυρηναῖοι ἔλεγον· καὶ ἐς τοὺς οὗτοι ἀπίκοντο ἀνθρώπους, γόητας εἶναι πάντας. τὸν δὲ δὴ ποταμὸν τοῦτον τὸν παραῤῥέοντα καὶ Ἐτέαρχος συνεβάλλετο εἶναι τὸν Νεῖλον· καὶ δὴ καὶ ὁ λόγος οὕτως αἱρέει. ῥέει γὰρ ἐκ Λιβύης. ὁ Νεῖλος, καὶ μέσην τάμνων Λιβύην· καὶ (ὡς ἐγὼ συμβάλλομαι, τοῖσι ἐμφανέσι τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος) τῷ Ἴστρῳ ἐκ τῶν ἴσων μέτρων ὁρμᾶται. Ἴστρος τε γὰρ ποταμὸς ἀρξάμενος ἐκ Κελτῶν καὶ Πυρήνης πόλιος, ῥέει μέσην σχίζων τὴν Εὐρώπην. οἱ δὲ Κελτοὶ εἰσὶ

eam urbem præterlabi grande flumen, ab vespera ad orientem solem fluens, in quo conspicerentur crocodili.

33. Hactenus a me sermo Ammonii Etearchi commemoratus sit: nisi quod is aiebat Nasamonas, ut Cyrenæi referebant, revertisse, et eos homines, ad quos illi pervenissent, omnes esse præstigiatores. Flumen autem quod præterfluebat, et Etearchus conjectabat Nilum esse, et ratio sic dictat. Ex Africa enim Nilus fluit, eamque mediam secat, et ut ego conjecto ex apertis ignota arguens, pari tractu atque Ister meat. Ister namque fluvius, incipiens a Celtis atque urbe Pyrene, mediam Europam scindit: Celtæ autem sunt extra columnas

ἔξω Ἡρακληΐων στηλέων· ὁμουρέουσι δὲ Κυνησίοισι, οἳ ἔσχατοι πρὸς δυσμέων οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ κατοικημένων. τελευτᾷ δὲ ὁ Ἴστρος ἐς θάλασσαν ῥέων τὴν τοῦ Εὐξείνου πόντου διὰ πάσης Εὐρώπης, τῇ Ἰστρίηνοὶ Μιλησίων οἰκέουσι ἄποικοι·

λδ΄. Ὁ μὲν δὴ Ἴστρος, ῥέει γὰρ δι' οἰκευμένης, πρὸς πολλῶν γινώσκεται· περὶ δὲ τῶν τοῦ Νείλου πηγέων οὐδεὶς ἔχει λέγειν· ἀοίκητός τε γάρ ἐστι καὶ ἔρημος ἡ Λιβύη, δι' ἧς ῥέει. περὶ δὲ τοῦ ῥεύματος αὐτοῦ, ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν ἐξικέσθαι, εἴρηται· ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. ἡ δὲ Αἴγυπτος τῆς ὀρεινῆς Κιλικίης μάλιστά κῃ ἀντίη κέεται. ἐνθεῦτεν δὲ, ἐς Σινώπην τὴν ἐν τῷ Εὐξείνῳ πόντῳ πέντε ἡμερέων ἰθεῖα ὁδὸς εὐζώνῳ ἀνδρί. ἡ δὲ Σινώπη τῷ Ἴστρῳ ἐκδιδόντι ἐς θάλασσαν

Herculis, Cynesiis finitimi, omnium in Europa ad occasum habitantium ultimi: totamque Europam permensus, qua Istriani Milesiorum coloni incolunt, in mare Euxini ponti influens finitur.

34. Et Ister, fluit enim per terram habitatam, a multis cognoscitur: de Nili vero fontibus nemo habet quod referat, utpote Africa, per quam fluit, inhabitata ac deserta. De ejus fluxu, quam potuit longissime inquirendo perveniri, dictum est; exit autem in Ægyptum. Porro Ægyptus montanæ Ciliciæ fere opposita jacet. Hinc ad Sinopen in ponto Euxino sitam, quinque dierum est rectum iter viro expedito. Sinope autem Istro mare irrumpenti ex

ἀντίον κέεται. οὕτω τὸν Νεῖλον δοκέω διὰ πάσης τῆς Λιβύης διεξιόντα ἐξισοῦσθαι τῷ Ἴστρῳ. Νείλου μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

λέ. Ἔρχομαι δὲ περὶ Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι πλέω θωϋμάσια ἔχει ἢ ἄλλη πᾶσα χώρη, καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκα πλέω περὶ αὐτῆς εἰρήσεται. Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ, καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοὶ, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο ἤθεά τε καὶ νόμους. ἐν τοῖσι, αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι· οἱ δὲ ἄνδρες, κατ᾽ οἴκους ἐόντες, ὑφαίνουσι. ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι, ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ, κάτω.

---

adverso est sita. Ita Nilus totam permeans Africam, videtur mihi æquiparandus Istro. Hactenus de Nilo dictum sit.

35. Venio ad plura de Ægypto referenda; quoniam plurima mirabilia habet, quam alia omnis regio, et supra omnem regionem exhibet opera relatu majora. Horum gratia plura de ea memorabuntur. Ægyptii pro cœlo, quod apud eos est alterius modi, et flumine diversam ab aliis fluminibus naturam ostendente, ita ipsi, pleraque omnia a ceteris hominibus diversa constituerunt, seu mores seu jura respicias. Apud hos feminæ quidem in foro agunt cauponanturque, viri autem intra domos texunt. Alii vero texentes villum sub tegminis de-

τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι· αἱ δὲ γυναῖκες, ἐπὶ τῶν ὤμων. οὐρέουσι, αἱ μὲν γυναῖκες, ὀρθαί· οἱ δὲ ἄνδρες, κατήμενοι. εὐμαρίῃ χρέωνται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι· ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρὰ, ἀναγκαῖα δὲ, ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών· τὰ δὲ μὴ αἰσχρὰ, ἀναφανδόν. ἱρᾶται γυνὴ μὲν οὐδεμίη οὔτε ἔρσενος θεοῦ, οὔτε θηλέης· ἄνδρες δὲ, πάντων τε καὶ πασέων· τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ οὐδεμίη ἀνάγκη, μὴ βουλομένοισι· τῇσι δὲ θυγατράσι πᾶσα ἀνάγκη, καὶ μὴ βουλομένῃσι.

λϛ΄. Οἱ ἱρέες τῶν θεῶν, τῇ μὲν ἄλλῃ κομέουσι, ἐν Αἰγύπτῳ δὲ ξυρεῦνται. τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλὰς, τοὺς μάλιστα ἱκνέεται· Αἰγύ-

---

super tramant, Ægyptii subter. Onera viri capitibus, feminæ humeris bajulant. Feminæ erectæ mingunt; viri sedentes. Domi ventrem exonerant, foris in viis comedunt: reddentes rationem, quæ sunt turpia, sed necessaria, ea in occulto fieri debere; palam vero, quæ non sunt turpia. Mulier neque dei neque deæ ulla sacerdos est, sed viri deorum omnium et dearum. Alendi parentes filiis nulla, nolentibus; filiabus, etiamsi nolint, summa necessitas est.

36. Deorum sacerdotes alibi comati sunt, in Ægypto rasi. Apud alios ritus est, statim in funere capita tonsa geri ab illis, quos maxime tangit; Ægyptii

πτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι, τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. τοῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων δίαιτα ἀποκέκριται, Αἰγυπτίοισι δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. ἀπὸ πυρέων καὶ κριθέων ὧλλοι ζώουσι· Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τούτων τὴν ζόην ὄνειδος μεγιστόν ἐστι· ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται σιτία, τὰς ζεὰς μετεξέτεροι καλέουσι. φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσὶ, τὸν δὲ πηλὸν τῇσι χερσὶ, καὶ τὴν κόπρον ἀναιρέονται. τὰ αἰδοῖα ὧλλοι μὲν ἐῶσι ὡς ἐγένοντο, πλὴν ὅσοι ἀπὸ τούτων ἔμαθον· Αἰγύπτιοι δὲ περιτάμνονται. εἵματα, τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο· τῶν δὲ γυναικῶν ἓν ἑκάστη. τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ

---

sub mortes sinunt capitis crines immitti, tum in capite, tum in mento antea rasi. Apud ceteros mortales victus a ferarum secretus est consortio; Ægyptii cum feris vivunt. Alii tritico atque hordeo victant: Ægyptio, qui ex iis vitam sectatur, maximo probro est; sed cibos e farre conficiunt, quos quidam siliginem appellant. Farinam aqua madefactam pedibus, lutum manibus subigunt et stercus tollunt. Virilia alii talia relinquunt prout nata erant, præter eos qui ab istis didicerunt; Ægyptii circumcidunt. Viri binas vestes habent, feminæ singulas. Alii velorum ansulas et funes extrinsecus assuunt, Ægyptii intrinsecus. Græci literas scribunt et calculis computant a

ἔσωθεν. γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι, Ἕλληνες μὲν, ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα· Αἰγύπτιοι δὲ, ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα, αὐτοὶ μέν φασι ἐπὶ τὰ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ᾽ ἀριστερά. διφασίοισι δὲ γράμμασι χρέονται· καὶ τὰ μὲν αὐτῶν, ἱρὰ, τὰ δὲ, δημοτικὰ καλέεται.

λζ′. Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀνθρώπων, νόμοισι τοίοισίδε χρέονται, ἐκ χαλκέων ποτηρίων πίνουσι, διασμέοντες ἀνὰ πᾶσαν ἡμέρην· οὐχ ὁ μὲν, ὁ δ᾽ οὔ, ἀλλὰ πάντες. εἵματα δὲ λίνεα φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα. τά τε αἰδοῖα περιτάμνονται, καθαριότητος εἵνεκεν· προτιμῶντες καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι. οἱ

---

sinistro in dextrum manum ferentes; Ægyptii a dextro in sinistrum; et hoc facientes aiunt se in dextrum, Græcos facere in sinistrum. Literis duplicibus utuntur, quarum unas sacras vocant, populares alteras.

37. In deos affatim supra omnes homines religiosi sunt, talibus moribus utentes: aheneis in poculis potant, singulis ea diebus extergentes, non hic neque ille, sed universi. Linea ferunt vestimenta semper recens lota, hanc rem præcipue curantes. Virilia circumcidunt munditiæ gratia, pluris facientes se mundos esse quam decoros. Sacerdotes tertio quoque die totum corpus radunt,

δὲ ἱρέες ξυρεῦνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ, μήτε ἄλλο μυσαρὸν μηδὲν ἐγγίνηταί σφι θεραπεύουσι τοὺς θεούς. ἐσθῆτα δὲ φορέουσι οἱ ἱρέες λινέην μούνην, καὶ ὑποδήματα βύβλινα· ἄλλην δέ σφι ἐσθῆτα οὐκ ἔξεστι λαβεῖν, οὐδὲ ὑποδήματα ἄλλα. λοῦνται δὲ δὶς τῆς ἡμέρης ἑκάστης ψυχρῷ, καὶ δὶς ἑκάστης νυκτός. ἄλλας τε θρησκίας μυρίας ἐπιτελέουσι, ὡς εἰπεῖν λόγῳ. πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα. οὔτε τι γὰρ τῶν οἰκηΐων τρίβουσι, οὔτε δαπανέονται, ἀλλὰ καὶ σιτία σφι ἐστὶ ἱρὰ πεσσόμενα, καὶ χηνέων καὶ βοέων κρεῶν πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν ἑκάστης ἡμέρης. δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος. ἰχθύων δὲ οὔ σφι ἔξεστι πάσασθαι. κυάμους δὲ οὔτε τι μάλα σπείρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γενομένους οὔτε

---

nequis pediculus deos colentibus aut aliud quid sordidum omnino adsit. Iidem vestem tantummodo lineam, calceos byblinos gestant: nec aliam vestem aut alios calceos sumere eis fas est. Lavantur quotidie bis frigida, item noctu bis. Alias praeterea ceremonias, ut ita dicam, infinitas exercent. Qui etiam non paucis afficiuntur commodis; nam neque e re domestica aliquid conterunt, neque impendunt, sed ipsis cibi sacri cocti præsto sunt, et carnis anserinæ et bubulæ copia quædam ingens quotidie unicuique adest. Vinum quoque ex vite pressum illis datur. De piscibus gustare nefas est illis. Fabas Ægyptii in sua

τρώγουσι, οὔτε ἕψοντες πατέονται. οἱ δὲ δὴ ἱρέες, οὐδὲ ὁρέοντες ἀνέχονται, νομίζοντες οὐ καθαρόν μιν εἶναι ὄσπριον. ἱρᾶται δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν, ἀλλὰ πολλοὶ, τῶν εἷς ἐστι ἀρχιέρεως· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου ὁ παῖς ἀντικατίσταται.

λή. Τοὺς δὲ βοῦς τοὺς ἔρσενας, τοῦ Ἐπάφου εἶναι νομίζουσι, καὶ τούτου εἵνεκα δοκιμάζουσι αὐτοὺς ὧδε. τρίχα ἢν καὶ μίην ἴδηται ἐπεοῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι νομίζει. δίζηται δὲ ταῦτα ἐπὶ τοῦτο τεταγμένος τῶν τις ἱρέων, καὶ ὀρθοῦ ἑστεῶτος τοῦ κτήνεος καὶ ὑπτίου, καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημηΐων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω. κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς, εἰ κατὰ φύσιν ἔχει πεφυ-

---

terra nec admodum serunt, nec eas, quæ provenerint, aut crudas aut in aqua coctas, edunt. Sacerdotes vero ne aspicere quidem eas sustinent, arbitrantes haud mundum illud legumen esse. Sacerdos fit non unus cuiusque deorum, sed multi, quorum unus est maximus; ubi quis defunctus est, filius ejus subrogatur.

38. Boves mares Epaphi esse statuunt; eaque de re hunc in modum eos explorant. Si pilum nigrum adesse vel unum viderit, nequaquam mundum esse censet. Explorat autem hæc sacerdotum aliquis ad id constitutus, pecude cum stante erecta, tum etiam resupinata: lingua etiam exerta, an pura sit ab iis signis quæ proposita sunt, quæ ego alio referam in libro. Inspicit et caudæ pilos, nunquid

κυίας. ἢν δὲ τουτέων πάντων ᾖ καθαρὸς σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἱλίσσων· καὶ ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας, ἐπιβάλλει τὸν δακτύλιον, καὶ οὕτω ἀπάγουσι. ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη ἐπικέεται. δοκιμάζεται μέν νυν τὸ κτῆνος τρόπῳ τοιῷδε.

λθ′. Θυσίη δέ σφι ἥδε κατέστηκε. ἀγαγόντες τὸ σεσημασμένον κτῆνος πρὸς τὸν βωμὸν ὅκου ἂν θύωσι, πυρὴν καίουσι. ἔπειτα δὲ ἐπ᾽ αὐτοῦ οἶνον κατὰ τοῦ ἱρηΐου ἐπισπείσαντες καὶ ἐπικαλέσαντες τὸν θεὸν, σφάζουσι· σφάξαντες δὲ, ἀποτάμνουσι τὴν κεφαλήν· σῶμα μὲν δὴ τοῦ κτήνεος δείρουσι· κεφαλῇ δὲ κείνῃ πολλὰ καταρησάμενοι, φέρουσι τοῖσι μὲν ἂν ᾖ ἀγορὴ, καὶ Ἕλληνές σφισι ἔωσι ἐπίδημοι ἔμποροι, οἳ δὲ φέροντες ἐς τὴν ἀγορὴν, ἀπ᾽ ὧν

---

eos habeat secundum naturam procreatos. Eum, si fuerit his omnibus mundus, notat circumvolvens cornibus byblum; deinde adfingens terram sigillarem, anulum imprimit, et sic abducunt. Nam immolanti eo sigillo non notatam, pœna mors sancita est. Et hunc quidem in modum pecus explorantur.

39. Sacrificandi autem is eis est ritus. Pecude, quæ signata est, ad aram ubi immolant adducta, pyram incendunt: deinde supra aram circa hostiam libato vino, ac deo invocato, mactant: mactatæ caput amputant, et reliquum corpus excoriant. Capiti autem illi multa imprecati, asportant illi, quibus jus est forum celebrare, et eis Græci negotiatores adfuerint; illi igitur

ἔδοντο· τοῖσι δὲ ἂν μὴ παρέωσι Ἕλληνες, οἵ δ' ἐκβάλλουσι ἐς τὸν ποταμόν. καταρέονται δὲ, τάδε λέγοντες τῇσι κεφαλῇσι, εἴ τι μέλλοι ἢ σφίσι τοῖσι θύουσι· ἢ Αἰγύπτῳ τῇ συναπάσῃ κακὸν γενέσθαι, ἐς κεφαλὴν ταύτην τραπέσθαι. κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυομένων κτηνέων, καὶ τὴν ἐπίσπεισιν τοῦ οἴνου, πάντες Αἰγύπτιοι νόμοισι τοῖσι αὐτοῖσι χρέονται ὁμοίως ἐς πάντα τὰ ἱρά. καὶ ἀπὸ τούτου τοῦ νόμου, οὐδὲ ἄλλου οὐδενὸς ἐμψύχου κεφαλῆς γεύσεται Αἰγυπτίων οὐδείς.

μ'. Ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν, καὶ ἡ καῦσις, ἄλλη περὶ ἄλλο ἱρόν σφι κατέστηκε. τὴν δ' ὦν μεγίστην τε δαίμονα ἥγηνται εἶναι, καὶ μεγίστην οἱ ὁρτὴν ἀνάγουσι, ταύτην ἔρχομαι ἐρέων. ἐπὴν προνηστεύσωσι τῇ Ἶσι, καὶ ἐπὴν κατεύξωνται θύουσι τὸν βοῦν καὶ

ferentes in forum vendunt: quibus si non adfuerint Græci, in flumen abjiciunt. Execrantur autem capita in hæc verba, ut siquid mali aut ipsis immolantibus aut universæ Ægypto futurum sit, id in caput hoc vertatur. Eosdem porro hos ritus circa capita pecudum immolatarum, et vini libationem omnes pariter Ægyptii ad omnia sacra observant. Atque ex hoc ritu fit, ut nemo Ægyptiorum de capite ullius alterius animantis degustet.

40. At tamen sacrorum exemptio et crematio alia circa aliud sacrum ab eis instituta. Quam igitur deam maximam esse censent, et cui maximum festum celebrant, jam nunc dicam. Posteaquam jejunio Isidis

ἀποδείραντες, κοιλίην μὲν ἐκείνην πᾶσαν ἐξ ὧν εἷλον, σπλάγχνα δὲ αὐτοῦ λείπουσι ἐν τῷ σώματι καὶ τὴν πιμελήν· σκέλεα δὲ ἀποτάμνουσι, καὶ τὴν ὀσφὺν ἄκρην, καὶ τοὺς ὤμους τε καὶ τὸν τράχηλον. ταῦτα δὲ ποιήσαντες, τὸ ἄλλο σῶμα τοῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν, καὶ μέλιτος, καὶ ἀσταφίδων, καὶ σύκων, καὶ λιβανωτοῦ, καὶ σμύρνης, καὶ τῶν ἄλλων θυωμάτων. πλήσαντες δὲ τούτων, καταγίζουσι, ἔλαιον ἄφθονον καταχέοντες· προνηστεύσαντες δὲ, θύουσι· καιομένων δὲ τῶν ἱρῶν, τύπτονται πάντες. ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται, τὰ ἐλίποντο τῶν ἱρῶν.

μα΄. Τοὺς μέν νυν καθαροὺς βοῦς τοὺς ἔρσενας καὶ τοὺς μοσχους οἱ πάντες Αἰγύπτιοι θύουσι· τὰς δὲ θηλέας οὔ σφι ἔξεστι θύειν,

---

vacarunt et precati sunt, bovem immolant, detractoque corio, alvum illam totam extrahunt, viscera autem ejus in corpore adipemque linquunt, crura amputant, et extremam coxam armosque, ac cervicem. His actis, reliquum bovis corpus stipant panibus puris, et melle, et uvis passis, et ficis, et thure, et myrrha, atque aliis odoribus. Ubi hæc infarserunt, adolent, multum olei adfundentes: jejunio tamen ante servato sacrificant. Dum sacrificium ardet, omnes sese verberant. Posteaquam plangere desierunt, dapem ex sacrificii reliquiis proponunt.

41. Mundos quidem igitur mares boves, ac vitulos universi Ægyptii immolant: at feminas eis immolare non licet, utpote

ἀλλὰ ἱραί εἰσι τῆς Ἴσιος· τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήϊον, βούκερών ἐστι, κατάπερ Ἕλληνες τὴν Ἰοῦν γράφουσι· καὶ τὰς βοῦς τὰς θηλέας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλιστα μακρῷ. τῶν εἵνεκα οὔτ' ἀνὴρ Αἰγύπτιος, οὔτε γυνὴ ἄνδρα Ἕλληνα φιλήσειε ἂν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται, οὐδ' ὀβελοῖσι, οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου Ἑλληνικῇ μαχαίρῃ γεύσεται. θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας βοῦς, τρόπον τόνδε· τὰς μὲν θηλέας ἐς τὸν ποταμὸν ἀπιᾶσι· τοὺς δὲ ἔρσενας κατορύσσουσι ἕκαστοι ἐν τοῖσι προαστείοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ ἀμφότερα ὑπερέχοντα, σημηΐου εἵνεκεν· ἐπεὰν δὲ σαπῇ, καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀ-

---

Isidi consecratas. Nam Isidis simulacrum muliebre bubulis præditum est cornibus, quemadmodum Io Græci pingunt; bovesque feminas similiter Ægyptii omnes venerantur ex omnibus pecudibus longe plurimum: ideoque nemo vir Ægyptius Ægyptiave mulier Græcum virum aut ore suavietur, aut cultro, vel verubus, vel olla illius utetur, aut puri bovis carnem Græco cultro dissecti gustabit. Boves, qui demortui sunt, hunc in modum sepeliunt: Feminas quidem in flumen demittunt, masculos autem in suburbanis singuli defodiunt, uno cornu aut utroque extante, signi gratia. Ubi computruit, et statum tempus advenit, præsto est ad singulas urbes navis

πικνέεται ἐς ἑκάστην πόλιν βᾶρις ἐκ τῆς Προσωπίτιδος καλευμένης νήσου. ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρος δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. ἐν ταύτῃ ὦν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες συχναί· ἐκ τῆς δὲ αἱ βάρις παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν· οὔνομα τῇ πόλι 'Ατάρβηχις. ἐν δ' αὐτῇ 'Αφροδίτης ἱρὸν ἅγιον ἵδρυται. ἐκ ταύτης τῆς πόλιος πλανέονται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις· ἀνορύξαντες δὲ τὰ ὀστέα ἀπάγουσι, καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. κατὰ ταυτὰ δὲ τοῖσι βουσὶ καὶ τἄλλα κτήνεα θάπτουσι ἀποθνήσκοντα. καὶ γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται. κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα.

μβ'. Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρὸν, ἢ νομοῦ τοῦ Θηβαίου εἰσὶ, οὗτοι μέν

ex insula nominata Prosopitide, quæ est in Delta, habetque novem schœnorum ambitum. In hac igitur Prosopitide insula cum aliæ sunt frequentes urbes, tum ea unde proficiscuntur naves ad ossa boum tollenda, nomine Atarbechis, ubi templum Veneris sanctum extructum est; ex qua urbe alii multi vagantur in alias urbes. Ubi autem effoderunt ossa, asportant, eaque uno in loco cuncti sepeliunt. Quem porro in modum boves, in eundem defuncta alia pecora sepeliunt; ita enim apud eos circa hæc legibus comparatum est; nam ne hæc quidem interimunt.

42. Ceterum qui Jovis Thebani templum incolunt, aut Thebanæ præfecturæ sunt, ii

νυν πάντες ὀΐων ἀπεχόμενοι, αἶγας θύουσι. θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε, καὶ Οσίριδος· τὸν δὴ Διόνυσον εἶναι λέγουσι. τούτους δὲ ὁμοίως ἅπαντες σέβονται. ὅσοι δὲ τοῦ Μένδητος ἔκτηνται ἱρὸν ἢ, νομοῦ τοῦ Μενδησίου εἰσὶ, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι, ὄϊς θύουσι. Θηβαῖοι μέν νυν, καὶ ὅσοι διὰ τούτους ὀΐων ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδέ σφι τεθῆναι. Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία, καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ᾽ αὐτοῦ· τέλος δὲ, ἐπεί τε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχανήσασθαι, κριὸν ἐκδείραντα προέχεσθαί τε τὴν κεφαλὴν ἀποταμόντα τοῦ κριοῦ, καὶ ἐνδύντα τὸ νάκος, οὕτω οἱ ἑωϋτὸν ἐπιδέξαι. ἀπὸ τούτου, κριοπρόσωπον

omnes ab ovibus abstinentes, capras immolant. Non enim eosdem deos similiter colunt universi Ægyptii, præter Isin et Osirin, quem Bacchum esse ajunt; hos peræque universi colunt. Qui vero Mendetis templum obtinent, sive Mendesiæ præfecturæ sunt, hi capris abstinentes, immolant oves. Itaque Thebani, et quicunque propter illos ovibus parcunt, ajunt ideo sibi conditam hanc legem, quod Jupiter, quum ab Hercule cernere eum volente, cerni nollet, tandem quia orando instabat Hercules, hoc commentus sit, ut amputato arietis capite, pelleque villosa quam illi detraxerat, induta sibi, ita sese Herculi ostenderit: et ob id Ægyptios instituisse Jovis simulacrum facere arietina facie: et ab Ægyptiis Ammonios accepisse,

τὤγαλμα τοῦ Διὸς ποιεῦσι Αἰγύπτιοι· ἀπὸ δὲ Αἰγυπτίων, Ἀμμώνιοι, ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι, καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. δοκέειν δ' ἐμοὶ, καὶ τοὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδέ σφι τὴν ἐπωνυμίην ἐποιήσαντο. Ἀμμοῦν γὰρ Αἰγύπτιοι καλέουσι τὸν Δία. τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διὸς, κριὸν ἕνα κατακόψαντες, καὶ ἀποδείραντες, κατὰ τὠϋτὸ ἐνδύουσι τὤγαλμα τοῦ Διός· καὶ ἔπειτα ἄλλο ἄγαλμα Ἡρακλέος προσάγουσι πρὸς αὐτό. ταῦτα δὲ ποιήσαντες, τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν, καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

μγ'. Ἡρακλέος δὲ πέρι τόνδε τὸν λόγον ἤκουσα, ὡς εἴη τῶν δυώδεκα θεῶν· τοῦ ἑτέρου

---

qui sunt Ægyptiorum atque Æthiopum coloni, et linguam ex utrisque mixtam usurpantes. Qui etiam mihi videntur nomen Ammonios ex hoc sibi pro cognomine posuisse, quod Ægyptii Jovem appellant Ammoun. Arietes vero non mactantur a Thebanis, sed eis ob hanc rem sacri sunt. Uno tantum die quotannis in festo Jovis, unum arietem obtruncant, cujus pellem detractam eundem in modum Jovis simulacro induunt: ad illudque deinde aliud adducunt Herculis simulacrum. Hoc acto, cuncti qui circa templum sunt, arietem verberant, deinde in sacro eundem loculo sepeliunt.

43. De Hercule autem hunc ego audivi sermonem, eum esse

δὲ πέρι Ἡρακλέος, τὸν Ἕλληνες οἴδασι, οὐδαμῆ Αἰγύπτου ἐδυνάσθην ἀκοῦσαι. καὶ μὴν ὅτι γε οὐ παρ' Ἑλλήνων ἔλαβον τοὔνομα τοῦ Ἡρακλέος Αἰγύπτιοι. ἀλλὰ Ἕλληνες μᾶλλον παρ' Αἰγυπτίων, καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφιτρύωνος γόνῳ οὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα τεκμήριά ἐστι τοῦτο οὕτω ἔχειν, ἐν δὲ δὴ καὶ τόδε· ὅτι τε τοῦ Ἡρακλέος τούτου οἱ γονέες ἀμφότεροι ἦσαν Ἀμφιτρύων καὶ Ἀλκμήνη, γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύπτου· καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε Διοσκούρων τὰ οὐνόματα φασὶ εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. καὶ μὴν εἴ γε παρ' Ἑλλήνων ἔλαβον οὔνομα τεῦ δαίμονος, τούτων οὐκ ἥκιστα ἀλλὰ μάλιστα ἔμελλον

---

ex diis duodecim; nam de altero Hercule, quem Græci norunt, nulla in parte Ægypti quippiam potui audire. Et sane ejus nomen non Ægyptios a Græcis accepisse, sed Græcos potius ab Ægyptiis, et eos quidem Græcos, qui hoc nomen filio Amphitryonis imposuere, cum multa alia mihi indicia sunt id ita se habere; tum vero istud, quod hujus Herculis uterque parens, Amphitryon et Alcmena, fuerunt olim ab Ægypto oriundi: et quod Ægyptii negant, se aut Neptuni aut Dioscurorum nomina nosse: neque hi dii inter ceteros ab illis admissi fuerunt. Quod si nomen dæmonis ullius a Græcis mutuati essent, non minime, imo vel maxime istorum memoriam

μνήμην ἕξειν, εἴπερ καὶ τότε ναυτιλίῃσι ἐχρέοντο, καὶ ἦσαν Ἑλλήνων τινὲς ναυτίλοι, ὡς ἔλπομαί τε καὶ ἐμὴ γνώμη αἱρέει. ὥστε τουτέων ἂν καὶ μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξεπιστέατο Αἰγύπτιοι ἢ τοῦ Ἡρακλέος. ἀλλά τις ἀρχαῖος ἐστι θεὸς Αἰγυπτίοισι Ἡρακλέης· ὡς δὲ αὐτοὶ λέγουσι, ἔτεά ἐστι ἑπτακισχίλια καὶ μύρια ἐς Ἄμασιν βασιλεύσαντα, ἐπεί τε ἐκ τῶν ὀκτὼ θεῶν οἱ δυώδεκα θεοὶ ἐγένοντο, τῶν Ἡρακλέα ἕνα νομίζουσι.

μδ'. Καὶ θέλων δὲ τούτων πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλευσα καὶ ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν Ἡρακλέος ἅγιον· καὶ ἴδον πλουσίως κατεσκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ ἦσαν στῆλαι δύο, ἡ μὲν, χρυσοῦ

---

fuissent habituri: si quidem etiam tunc navigationes exercebant, et nonnulli Græcorum navicularii erant, ut credo, et mea fert opinio: ut Ægyptii istorum potius deorum nomina quam Herculis percepissent. Atqui vetustus quidam deus est apud Ægyptios Hercules, et, ut ipsi aiunt, septem et decem annorum millia sunt ad Amasin regem, ex quo duodecim dii ex octo diis exstiterunt, quorum Herculem unum arbitrantur.

44. Quibus ego de rebus certior fieri annitens, a quibus possem, in Tyrum Phœnices *urbem* navigavi, quod ibi templum Herculis sanctum esse audirem: quod et vidi opulenter exornatum cum aliis multis donariis, tum vero duobus cippis, altero ex auro excocto, altero ex lapide

ἀπέφθου· ἡ δὲ, σμαράγδου λίθου, λάμποντος τὰς νύκτας μέγαθος. ἐς λόγους δὲ ἐλθὼν τοῖσι ἱρεῦσι τοῦ θεοῦ, εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ οὗ σφι τὸ ἱρὸν ἵδρυται· εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλλησι συμφερομένους. ἔφασαν γὰρ, ἅμα Τύρῳ οἰκιζομένῃ καὶ τὸ ἱρὸν τοῦ θεοῦ ἱδρυθῆναι· εἶναι δὲ ἔτεα ἀφ' οὗ Τύρον οἰκέουσι, τριηκόσια καὶ δισχίλια. εἶδον δὲ ἐν τῇ Τύρῳ καὶ ἄλλο ἱρὸν Ἡρακλέος, ἐπωνυμίην ἔχοντος Θασίου εἶναι. ἀπικόμην δὲ καὶ ἐς Θάσον, ἐν τῇ εὗρον ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων ἱδρυμένον, οἳ κατ' Εὐρώπης ζήτησιν ἐκπλώσαντες, Θάσον ἔκτισαν· καὶ ταῦτα καὶ πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐστι ἢ τὸν Ἀμφιτρύωνος Ἡρακλέα ἐν τῇ Ἑλλάδι γενέσθαι. τὰ μέν νυν ἱστορημένα δηλοῖ σαφέως παλαιὸν

smaragdo, majorem in modum splendente per noctem: veniensque in colloquium cum dei sacerdotibus, percontabar quantum temporis foret, ex quo id templum fuisset extructum: sed comperi ne hos quidem congruere cum Græcis, quippe dicentes cum urbe condita fuisse dei templum pariter extructum: esse autem, a Tyro ab ipsis habitata, annorum duo millia ac trecentos. Vidi præterea Tyri etiam aliud Herculis templum cognomine Thasii. Quin etiam in Thasum profectus sum, ubi inveni templum Herculis a Phœnicibus conditum, qui ad investigandam Europam navigantes, Thasum condiderunt: quod vel quinque virorum ætatibus prius fuit, quam Hercules Amphitryonis in Græcia existeret. Hæc quidem igitur inves-

θεὸν τὸν Ἡρακλέα ἐόντα. καὶ δοκέουσι δέ μοι οὗτοι ὀρθότατα Ἑλλήνων ποιέειν, οἳ διξὰ Ἡράκλεια ἱδρυσάμενοι ἔκτηνται· καὶ τῷ μὲν, ὡς ἀθανάτῳ, Ὀλυμπίῳ δὲ ἐπωνυμίην, θύουσι· τῷ δ' ἑτέρῳ, ὡς ἥρωϊ, ἐναγίζουσι.

με'. Λέγουσι δὲ πολλὰ καὶ ἄλλα ἀνεπισκέπτως οἱ Ἕλληνες· εὐήθης δὲ αὐτέων καὶ ὅδε ὁ μῦθός ἐστι, τὸν περὶ τοῦ Ἡρακλέος λέγουσι· ὡς αὐτὸν ἀπικόμενον ἐν Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι, ὑπὸ πομπῆς ἐξῆγον ὡς θύσοντες τῷ Διΐ· τὸν δὲ, τέως μὲν ἡσυχίην ἔχειν· ἐπεὶ δὲ αὐτοῦ πρὸς τῷ βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον, πάντας σφέας καταφονεῦσαι. ἐμοὶ μέν νυν δοκέουσι ταῦτα λέγοντες, τῆς Αἰγυπτίων φύσιος καὶ τῶν νόμων πάμπαν ἀπείρως ἔχειν οἱ Ἕλληνες.

---

tigata plane declarant Herculem vetustum deum esse; eoque mihi videntur hi rectissime facere e Græcis, qui duplicia Herculi templa ædificata obtinent; uni quidem, ut immortali, cognomen Olympio, immolantes: alteri vero, ut heroi, parentantes.

45. Alia quoque multa inconsiderate Græci loquuntur, quorum et hæc inepta fabula est, quam de Hercule ferunt: Eum, quum in Ægyptum pervenisset, ab Ægyptiis redimitum, tanquam Jovi immolandum, cum pompa fuisse eductum, ac illum tantisper se continuisse; sed quum illi ad arma eum consecrarent, ibi ad vim conversum, omnes illos interemisse. Quæ quum dicunt Græci, videntur mihi se et naturæ

τοῖσι γὰρ οὐδὲ κτήνεα ὁσίη θύειν ἐστι, χωρὶς ὑῶν, καὶ ἐρσένων βοῶν, καὶ μόσχων, ὅσοι ἂν καθαροὶ ἔωσι, καὶ χηνέων· κῶς ἂν οὗτοι ἀνθρώπους θύοιεν; ἔτι δὲ ἕνα ἐόντα τὸν Ἡρακλέα, καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; καὶ περὶ μὲν τούτων τοσαῦτα ἡμῖν εἰποῦσι καὶ παρὰ τῶν θεῶν καὶ παρὰ τῶν ἡρώων εὐμένεια εἴη.

μϛ΄. Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ θύουσι Αἰγυπτίων οἱ εἰρημένοι. τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι. τοὺς δὲ ὀκτὼ θεοὺς τούτους, προτέρους τῶν δυώδεκα θεῶν φασὶ γενέσθαι. γράφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι, καὶ οἱ ἀγαλματοποιοὶ τοῦ Πανὸς τὤγαλμα, κατάπερ Ἕλληνες, αἰγοπρόσωπον καὶ τραγοσκε-

---

Ægyptiorum et morum ignaros prorsus ostendere. Quippe quibus nullam pecudem fas est immolare, præter sues, præterque boves mares, et vitulos, dummodo mundos, et anseres: ii qua ratione immolarent homines? aut quomodo Hercules, quum unus esset, et adhuc, ut aiunt, homo, par esset ad multa millia virorum interimenda? Hæc tamen tot quæ de his diximus, sint et a diis et ab heroibus in bonam partem accepta.

46. Porro capras et hircos ea de caussa ii, quos diximus, Ægyptiorum non mactant, quod Pana inter octo deos Mendesii numerant, quos octo ajunt priores duodecim diis extitisse. Panos autem simulacrum et pingunt et sculpunt pictores et statuarii, quemadmodum Græci, caprina facie, hircinisque cruribus:

λέα· οὔτι τοιοῦτον νομίζοντες εἶναί μιν, ἀλλ' ὅμοιον τοῖσι ἄλλοισι θεοῖσι. ὅτευ δὲ εἵνεκα τοιοῦτον γράφουσι αὐτὸν, οὔ μοι ἥδιόν ἐστι λέγειν. σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον τοὺς ἔρσενας τῶν θηλέων. καὶ τούτων οἱ αἰπόλοι τιμὰς μέζονας ἔχουσι· ἐκ δὲ τούτων εἷς μάλιστα, ὅστις ἐπεὰν ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ Μενδησίῳ νομῷ τίθεται. καλέεται δὲ ὅ, τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ, Μένδης. ἐγένετο δ' ἐν τῷ νομῷ τούτῳ ἐπ' ἐμεῦ τοῦτο τὸ τέρας· γυναικὶ τράγος ἐμίσγετο ἀναφανδόν. τοῦτο ἐς ἐπίδεξιν ἀνθρώπων ἀπίκετο.

μζ'. Ὗν δὲ Αἰγύπτιοι μιαρὸν ἥγηνται θηρίον εἶναι· καὶ τοῦτο μὲν, ἤν τις ψαύσῃ αὐτῶν παριὼν ὑὸς, αὐτοῖσι ἱματίοισι ἀπ'

---

haudquaquam existimantes eum esse talem, sed similem ceteris diis. Qua tamen eum caussa talem pingant, non est mihi relatu jucundum. Verum Mendesii omnes capros venerantur, et acrius mares quam feminas. Et caprarii præcipuo honore afficiuntur, et ex capris unus maxime: qui quum decessit, ingens toti Mendesiæ præfecturæ luctus ponitur. Vocatur autem et hircus et Pan Ægyptiace, Mendes. In hac regione contigit hoc mea memoria prodigium: hircus cum muliere coiit propalam, quod in ostentationem hominum pervenit.

47. Suem autem Ægyptii spurcam belluam esse arbitrantur, unde ut siquis istorum eam vel transeundo contigerit, cum

ὢν ἔβαψε ἑωϋτὸν, βὰς ἐπὶ τὸν ποταμόν· τοῦτο δὲ, οἱ συβῶται, ἐόντες Αἰγύπτιοι ἐγγενέες, ἐς ἱρὸν οὐδὲν τῶν ἐν Αἰγύπτῳ ἐσέρχονται μοῦνοι πάντων· οὐδὲ σφι ἐκδίδοσθαι θυγατέρα οὐδεὶς ἐθέλει, οὐδ' ἄγεσθαι ἐξ αὐτέων· ἀλλ' ἐκδίδονταί τε οἱ συβῶται, καὶ ἄγονται ἐξ ἀλλήλων. τοῖσι μέν νυν ἄλλοισι θεοῖσι θύειν ὗς οὐ δικαιεῦσι Αἰγύπτιοι· Σελήνῃ δὲ καὶ Διονύσῳ μούνοισι, τοῦ αὐτοῦ χρόνου, τῇ αὐτῇ πανσελήνῳ τοὺς ὗς θύσαντες, πατέονται τῶν κρεῶν. διότι δὲ τοὺς ὗς ἐν μὲν τῇσι ἄλλῃσι ὁρτῇσι ἀπεστυγήκασι, ἐν δὲ ταύτῃ θύουσι, ἔστι μὲν λόγος περὶ αὐτοῦ ὑπ' Αἰγυπτίων λεγόμενος· ἐμοὶ μέντοι ἐπισταμένῳ οὐκ εὐπρεπέστερός ἐστι λέγεσθαι. θυσίη δὲ ἥδε τῶν ὑῶν τῇ Σελήνῃ ποιέεται· ἐπεὰν θύσῃ τὴν οὐρὴν ἄκρην, καὶ

---

ipsis vestimentis demersit se abiens ad flumen; et ideo soli omnium subulci, Ægyptii indigenæ, nullum in Ægypto ingrediuntur templum: nemoque aut filiam illis nuptum dare vult, aut cujuspiam eorum filiam ducere: sed ipsi inter se subulci dant accipiuntque filias. Aliis diis immolare sues jus Ægyptiis non est, præterquam Lunæ et Baccho: quibus quum per tempus plenilunii sues immolarunt, carne vescuntur. Cur autem aliis diebus festis sues oderint, at in isto mactent, de hac re ab Ægyptiis est quidem narratio relata: sed quam mihi notam decorum magis est non referre. Sacrificium autem de suibus Lunæ hunc in modum fit. Immolata sue, extremam

τὸν σπλῆνα, καὶ τὸν ἐπίπλοον συνθεὶς ὁμοῦ, κατ' ὦν ἐκάλυψε πάσῃ τοῦ κτήνεος τῇ πιμελῇ τῇ περὶ τὴν νηδὺν γινομένῃ· καὶ ἔπειτα καταγίζει πυρί· τὰ δὲ ἄλλα κρέα σιτέονται ἐν τῇ πανσελήνῳ, ἐν τῇ ἂν τὰ ἱρὰ θύσωσι· ἐν ἄλλῃ δὲ ἡμέρῃ οὐκ ἂν ἔτι γευσκίατο. οἱ δὲ πένητες αὐτῶν ὑπ' ἀσθενείης βίου, σταιτίνας πλάσαντες ὗς, καὶ ὀπτήσαντες ταύτας, θύουσι.

μη'. Τῷ δὲ Διονύσῳ τῆς ὀρτῆς τῇ δορπίῃ, χοῖρον πρὸ τῶν θυρέων σφάξας ἕκαστος, διδοῖ ἀποφέρεσθαι τὸν χοῖρον αὐτῷ τῷ ἀποδομένῳ τῶν συβωτέων. τὴν δὲ ἄλλην ἀνάγουσι ὀρτὴν τῷ Διονύσῳ οἱ Αἰγύπτιοι, πλὴν χορῶν κατὰ ταυτὰ σχεδὸν πάντα Ἕλλησι. ἀντὶ δὲ φαλλῶν, ἄλλά σφι ἐστὶ ἐξευρημένα ὅσον τε πη-

---

ejus caudam, et lienem, et omentum simul componens, adipe omni, qui circa alvum pecudis existat, ea operuit, ac deinde igni adolet: reliquis carnibus plenilunii die vescuntur, quo die sacra fecerint; alio die non amplius gustarent. Qui sunt ex eis inopes, propter tenuitatem victus fictas ex farina sues postquam coxerunt, immolant.

48. Baccho quoque in festi convivali cœna porcum pro foribus mactans quisque auferendum subulco, qui illum vendiderat. Reliquum festum Baccho Ægyptii celebrant exceptis choris, fere per omnia eadem Græcis. Sed loco phallorum sunt ab eis excogitatæ aliæ statuæ circiter cubitales nervis mobiles, quas feminæ circumferunt per pa-

χυαῖα ἀγάλματα νευρόσπαστα, τὰ περιφορέουσι κατὰ κώμας γυναῖκες, νεῦον τὸ αἰδοῖον, οὐ πολλῷ τέῳ ἔλασσον ἐὸν τοῦ ἄλλου σώματος· προηγέεται δὲ αὐλός. αἱ δὲ ἕπονται ἀείδουσαι τὸν Διόνυσον. διότι δὲ μέζον τε ἔχει τὸ αἰδοῖον, καὶ κινέει μοῦνον τοῦ σώματος, ἔστι λόγος περὶ αὐτοῦ ἱρὸς λεγόμενος.

μθ'. Ἤδη ὦν δοκέει μοι Μελάμπους ὁ Ἀμυθέωνος τῆς θυσίης ταύτης οὐκ εἶναι ἀδαὴς, ἀλλ' ἔμπειρος. Ἕλλησι γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος τοῦ Διονύσου τό τε οὔνομα, καὶ τὴν θυσίην, καὶ τὴν πομπὴν τοῦ φαλλοῦ· ἀτρεκέως μὲν οὐ πάντα συλλαβὼν τὸν λόγον ἔφηνε· ἀλλ' οἱ ἐπιγενόμενοι τούτῳ σοφισταὶ μεζόνως ἐξέφηναν. τὸν δ' ὦν φαλλὸν τὸν τῷ Διονύσῳ πεμπόμενον Μελάμπους ἐστὶ

---

gos, veretro nutante, quod non multo minus est cætero corpore; et tibia præeunte, quam feminæ Bacchum canentes, sequuntur. Cur autem veretrum habeat majus et solum in corpore agitet, de eo est sacra narratio, quam habent.

49. Jam igitur Melampus Amytheonis filius non imperitus hujus sacri, sed gnarus fuisse mihi videtur. Siquidem Melampus fuit, qui Græcis Bacchi, et nomen et sacrificium, et pompam phalli interpretatus fuit, non tamen omnem plane rationem complexus aperuit. Verum ii qui post hunc extiterunt sapientes, rem magis explicaverunt. Itaque phallum, qui in pompa Bacchi exhibetur, Melampus induxit: a quo edocti

ὁ κατηγησάμενος· καὶ ἀπὸ τούτου μαθόντες ποιεῦσι τὰ ποιεῦσιν Ἕλληνες. ἐγὼ μέν νυν φημι Μελάμποδα γενόμενον ἄνδρα σοφὸν, μαντικήν τε ἑωϋτῷ συστῆσαι, καὶ πυθόμενον ἀπ᾽ Αἰγύπτου, ἄλλά τε πολλὰ ἐσηγήσασθαι Ἕλλησι, καὶ τὰ περὶ τὸν Διόνυσον, ὀλίγα αὐτῶν παραλλάξαντα. οὐ γὰρ δὴ συμπεσέειν γε φήσω τά τε ἐν Αἰγύπτῳ ποιεύμενα τῷ θεῷ, καὶ τὰ ἐν τοῖσι Ἕλλησι. ὁμότροπα γὰρ ἂν ἦν τοῖσι Ἕλλησι, καὶ οὐ νεωστὶ ἐσαγμένα· οὐ μὴν οὐδὲ φήσω ὅκως Αἰγύπτιοι παρ᾽ Ἑλλήνων ἔλαβον ἢ τοῦτο, ἢ ἄλλο κου τι νόμαιον. πυθέσθαι δέ μοι δοκέει μάλιστα Μελάμπους τὰ περὶ τὸν Διόνυσον παρὰ Κάδμου τε τοῦ Τυρίου, καὶ τῶν σὺν αὐτῷ ἐκ Φοινίκης ἀπικομένων ἐς τὴν νῦν Βοιωτίην καλεομένην χώρην.

Græci faciunt ea quæ faciunt. Ego quidem igitur Melampodem virum fuisse sapientem aio, artemque divinandi sibi comparasse, eundemque ab Ægypto accepta cum alia multa Græcis enarrasse, tum vero illa de Baccho pauca in illis mutantem. Neque enim dixerim, quæ in Ægypto fiunt huic deo, casu congruere cum iis, quæ in Græcia; nam simili modo ea fuissent Græcis, non autem recens inducta. Neque tamen dicam Ægyptios a Græcis fuisse mutuatos aut hoc aut aliud quippiam ad ritus pertinens. Videtur autem mihi Melampus, quæ ad Bacchum pertinent, audisse ex Cadmo Tyrio et illis, qui cum eo e Phœnice venerunt in terram nunc Bœotiam appellatam.

ν΄. Σχεδὸν δὲ καὶ πάντα τὰ οὐνόματα τῶν θεῶν ἐξ Αἰγύπτου ἐλήλυθε ἐς τὴν Ἑλλάδα. διότι μὲν γὰρ ἐκ τῶν βαρβάρων ἥκει, πυνθανόμενος οὕτω εὑρίσκω ἐόν. δοκέω δ᾽ ὦν μάλιστα ἀπ᾽ Αἰγύπτου ἀπῖχθαι. ὅτι γὰρ δὴ μὴ Ποσειδέωνος, καὶ Διοσκούρων, ὡς καὶ πρότερόν μοι ταῦτα εἴρηται, καὶ Ἥρης, καὶ Ἱστιης, καὶ Θέμιος, καὶ Χαρίτων, καὶ Νηρηΐδων, τῶν ἄλλων θεῶν, Αἰγυπτίοισι αἰείκοτε τὰ οὐνόματά ἐστι ἐν τῇ χώρῃ. λέγω δὴ τὰ λέγουσι αὐτοὶ Αἰγύπτιοι· τῶν δὲ οὔ φασι θεῶν γινώσκειν τὰ οὐνόματα, οὗτοι δέ μοι δοκέουσι ὑπὸ Πελασγῶν ὀνομασθῆναι, πλὴν Ποσειδέωνος· τοῦτον δὲ τὸν θεὸν παρὰ Λιβύων ἐπύθοντο. οὐδαμοὶ γὰρ ἀπ᾽ ἀρχῆς Ποσειδέωνος οὔνομα ἔκτηνται, εἰ μὴ Λίβυες· καὶ τιμέωσι τὸν θεὸν τοῦ-

---

50. Ac omnia fere deorum nomina ex Ægypto in Græciam venerunt. Nam ex barbaris venisse sciscitatus ita esse comperio. Reor igitur ex Ægypto præcipue venisse. Nam præter Neptuni, et Castorum, quemadmodum a me superius dictum est, et Junonis, et Vestæ, et Themidis, et Gratiarum, et Nereidum, nomina aliorum deorum fuerunt perpetuo Ægyptiis in regione. Dico autem quæ ipsi dicunt Ægyptii. Quorum vero deorum negant se noscere nomina, isti videntur mihi a Pelasgis fuisse nominati, præter Neptunum; hunc quippe Deum ab Afris audierunt. Etenim Neptuni ab initio nulli obtinuerunt nomen, nisi Afri, qui semper hunc deum in

τον ἀεί. Νομίζουσι δ' ὦν Αἰγύπτιοι οὐδ' ἥρωσι οὐδέν.

να'. Ταῦτα μέν νυν, καὶ ἄλλα πρὸς τούτοισι, τὰ ἐγὼ φράσω, Ἕλληνες ἀπ' Αἰγυπτίων νενομίκασι. τοῦ δὲ Ἑρμέω τὰ ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες, οὐκ ἀπ' Αἰγυπτίων μεμαθήκασι, ἀλλ' ἀπὸ Πελασγῶν, πρῶτοι μὲν Ἑλλήνων ἁπάντων Ἀθηναῖοι παραλαβόντες, παρὰ δὲ τούτων ὧλλοι. Ἀθηναίοισι γὰρ ἤδη τηνικαῦτα ἐς Ἕλληνας τελέουσι Πελασγοὶ σύνοικοι ἐγένοντο ἐν τῇ χώρῃ· ὅθεν περ καὶ Ἕλληνες ἤρξαντο νομισθῆναι. ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὰ Σαμοθρήϊκες ἐπιτελέουσι παραλαβόντες παρὰ Πελασγῶν, οὗτος ὠνὴρ οἶδε τὸ λέγω. τὴν γὰρ Σαμοθρηΐκην οἴκεον πρότερον Πελασγοὶ οὗτοι,

---

honore habent. Sed heroas Ægyptii nullo cultu prosequuntur.

51. Hos itaque ritus et alios præterea, quos ego referam, Græci sunt ab Ægyptiis mutuati. Sed ut Mercurii statuas facerent rectis cum veretris, non ab Ægyptiis, sed a Pelasgis didicerunt, primi quidem ex omnibus Græcis Athenienses nacti, et ab his alii. Nam Atheniensibus jam ea tempestate inter Græcos descriptis, contiguas domos in ea regione Pelasgi habuerunt, unde etiam pro Græcis inceperunt existimari. Hoc quod dico, quisquis Cabirorum sacra initiatus est, quæ Samothraces peragunt a Pelasgis accepta, novit. Nam Samothraciam prius incolebant hi Pelasgi, qui cum Atheniensibus habitaverunt, et ab illis orgia Samo-

τοί περ Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ παρὰ τούτων Σαμοθρήϊκες τὰ ὄργια παραλαμβάνουσι. ὀρθὰ ὦν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω, Ἀθηναῖοι πρῶτοι Ἑλλήνων παρὰ Πελασγῶν μαθόντες, ἐποιήσαντο. οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρηΐκῃ μυστηρίοισι δεδήλωται.

νϐ΄. Ἔθυον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι, ὡς ἐγὼ ἐν Δωδώνῃ οἶδα ἀκούσας· ἐπωνυμίην δ' οὐδ' οὔνομα ἐποιεῦντο οὐδενὶ αὐτέων· οὐ γὰρ ἀκηκόεσάν κω· θεοὺς δὲ προσωνόμασάν σφεας ἀπὸ τοῦ τοιούτου, ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον. ἐπεί τε δὲ χρόνου πολλοῦ διεξελθόντος, ἐπύθοντο ἐκ τῆς Αἰγύπτου ἀπικόμενα τὰ οὐνόματα τῶν θεῶν τῶν

---

thraces accipiunt. Itaque primi e Græcis Athenienses a Pelasgis edocti, statuas Mercurii ut erecta pudenda haberent fecerunt. De qua re Pelasgi sacrum quendam sermonem retulerunt, qui in Samothraciæ mysteriis declaratus est.

52. Isti Pelasgi antea diis vota facientes omnia immolabant, quemadmodum ego apud Donam audiendo cognovi; nulli autem eorum cognomen neque nomen imponebant, quippe non audierant uspiam. Deos autem cognominaverunt eos ob id, quod cum ornatu posuerint omnes res atque omnes distributiones. Multo deinde progressu temporis quum ali[illegible]um deorum nomina resciverunt ex Ægypto digressa, post multo nomen

ἄλλων, Διονύσου δὲ ὕστερον πολλῷ ἐπύθοντο· καὶ μετὰ χρόνον ἐχρηστηριάζοντο περὶ τῶν οὐνομάτων ἐν Δωδώνῃ. τὸ γὰρ δὴ μαντήϊον τοῦτο νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι· καὶ ἦν τὸν χρόνον τοῦτον μοῦνον. ἐπεὶ ὦν ἐχρηστηριάζοντο ἐν τῇ Δωδώνῃ οἱ Πελασγοὶ εἰ ἀνέλωνται τὰ οὐνόματα τὰ ἀπὸ τῶν βαρβάρων ἥκοντα, ἀνεῖλε τὸ μαντήϊον χρέεσθαι. ἀπὸ μὲν δὴ τούτου τοῦ χρόνου ἔθυον, τοῖσι οὐνόμασι τῶν θεῶν χρεόμενοι. παρὰ δὲ Πελασγῶν Ἕλληνες ἐξεδέξαντο ὕστερον.

νγ΄. Ἔνθεν δὲ ἐγένετο ἕκαστος τῶν θεῶν, εἴτε δ᾽ αἰεὶ ἦσαν πάντες, ὁκοῖοί τέ τινες τὰ εἴδεα, οὐκ ἠπιστέατο μέχρι οὗ πρώην τε καὶ χθὲς, ὡς εἰπεῖν λόγῳ. Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ

Bacchi intellexerunt. Itemque aliquanto post de nominibus in Dodona oraculum petiverunt. Namque hoc oraculum ex eis, quæ apud Græcos sunt, oraculorum vetustissimum esse existimatur, atque adeo solum erat ea tempestate. Consulentibus igitur Pelasgis apud Dodonam, nunquid nomina, quæ a barbaris advenirent, adsciscerent, oraculum redditum est, ut illis uterentur. Atque ita ex eo tempore sacrificaverunt, deorum nomina nuncupantes, et ea deinceps ab Pelasgis Græci exceperunt.

53. Unde autem unusquisque deorum extiterit, an vero cuncti semper fuerint, aut qua specie, ignorarunt usque prius et heri, ut sic dicam. Nam

πρεσβυτέρους γενέσθαι, καὶ οὐ πλέοσι. οὗτοι δέ εἰσι οἱ ποιήσαντες θεογονίην Ἕλλησι, καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες, καὶ τιμάς τε καὶ τέχνας διελόντες, καὶ εἴδεα αὐτῶν σημήναντες. οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι, ὕστερον, ἐμοί γε δοκέειν, ἐγένοντο τούτων. καὶ τὰ μὲν πρῶτα αἱ Δωδωνίδες ἱρήϊαι λέγουσι· τὰ δὲ ὕστερα, τὰ ἐς Ἡσίοδόν τε καὶ Ὅμηρον ἔχοντα, ἐγὼ λέγω.

νδ΄. Χρηστηρίων δὲ πέρι τοῦ τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ τόνδε Αἰγύπτιοι λόγον λέγουσι. ἔφασαν οἱ ἱρέες τοῦ Θηβαιέος Διὸς, δύο γυναῖκας ἱρηΐας ἐκ Θηβέων ἐξαχθῆναι ὑπὸ Φοινίκων· καὶ τὴν μὲν αὐτέων πυθέσθαι ἐς Λιβύην πρηθεῖσαν, τὴν δὲ, ἐς τοὺς Ἕλληνας.

Hesiodus atque Homerus, quos quadringentis, et non amplius, annis ante me opinor extitisse, illi fuere qui Græcis theogoniam fecerunt, diisque et cognomina dederunt honoresque et artificia separaverunt, et figuras eorum designaverunt. Quibus viris qui poëtæ feruntur extitisse priores, posteriores, ut ego opinor, illis fuerunt. Et prima quidem illa Dodonides sacerdotes memorant: posteriora autem ad Hesiodum et Homerum spectantia, ego refero.

54. At de oraculis sive illo, quod habent Græci, sive illo, quod in Africa est, talia Ægyptii commemorant. Narrabant sacerdotes Jovis Thebæensis, duas feminas, quæ essent sacerdotes. Thebis a Phœnicibus fu-

ταύτας δὲ τὰς γυναῖκας εἶναι τὰς ἱδρυσαμένας τὰ μαντήϊα πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι. εἰρομένου δέ μευ ὁκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγουσι, ἔφασαν πρὸς ταῦτα ζήτησιν μεγάλην ἀπὸ σφέων γενέσθαι τῶν γυναίκων τουτέων· καὶ ἀνευρεῖν μέν σφεας οὐ δυνατοὶ γενέσθαι· πυθέσθαι δὲ ὕστερον ταῦτα περὶ αὐτέων τάπερ δὴ ἔλεγον.

νέ. Ταῦτα μέν νυν τῶν ἐν Θήβῃσι ἱρέων ἤκουον. τάδε δὲ Δωδωναίων φασὶ αἱ προμάντιες, δύο πελειάδας μελαίνας ἐκ Θηβέων τῶν Αἰγυπτιέων ἀναπταμένας, τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ παρὰ σφέας ἀπικέσθαι. ἱζομένην δέ μιν ἐπὶ φηγὸν, αὐδάξασθαι φωνῇ ἀνθρωπηΐῃ, ὡς χρεὼν εἴη μαντήϊον αὐτόθι Διὸς γενέσθαι. καὶ αὐτοὺς ὑπολαβεῖν θεῖον εἶναι τὸ

---

isse abductas: et se audisse harum unam in Africam fuisse venundatam, alteram in Græcos: atque has feminas esse, quæ primæ apud dictas gentes oracula constituissent. Percontantique mihi unde id commemorarent, tanquam sic plane compertum habentes, ad hæc responderunt, majorem in modum se institisse vestigare de his mulieribus, nec tamen unquam invenire potuisse, sed postea hæc quæ dicebant de eis audisse.

55. Hæc quidem igitur Thebis e sacerdotibus audivi. Antistites autem Dodonæorum hæc aiunt: Geminas Thebis Ægyptiis columbas evolantes, utramque nigram, unam quidem in Africam venisse, alteram ad ipsos: quæ fago insidens humana voce eloquuta sit, fatum esse, ut eo loci Joves ora-

ἐπαγγελλόμενον αὐτοῖσι, καὶ σφέας ἐκ τούτου ποιῆσαι. τὴν δὲ ἐς τοὺς Λίβυας οἰχομένην πελειάδα, λέγουσι Ἄμμωνος χρηστήριον κελεῦσαι τοὺς Λίβυας ποιέειν· ἔστι δὲ καὶ τοῦτο Διός. Δωδωναίων δὲ αἱ ἱρήϊαι, τῶν τῇ πρεσβυτάτῃ οὔνομα ἦν Προμένεια, τῇ δὲ μετὰ αὐτὴν, Τιμαρέτη, τῇ δὲ νεωτάτῃ, Νικάνδρη, ἔλεγον ταῦτα. συνωμολόγεον δέ σφι καὶ οἱ ἄλλοι Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν.

νϛʹ. Ἐγὼ δ' ἔχω περὶ αὐτέων γνώμην τήνδε· εἰ ἀληθέως οἱ Φοίνικες ἐξήγαγον τὰς ἱρὰς γυναῖκας, καὶ τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ ἐς τὴν Ἑλλάδα ἀπέδοντο, δοκέει ἐμοὶ ἡ γυνὴ αὕτη τῆς νῦν Ἑλλάδος, πρότερον δὲ Πελασγίης καλευμένης τῆς αὐτῆς ταύτης, πρηθῆναι ἐς Θεσπρωτούς. ἔπειτα δουλεύουσα αὐ-

---

culum condatur: et ipsos interpretatos esse, quod ipsis annunciaretur id fieri divinitus, et inde se ita fecisse: eam vero quæ ad Afros abiisset columbam, dicunt jussisse illos Ammonis oraculum condere; quod et ipsum Jovis est. Ita referebant Dodonæorum sacerdotes, quarum vetustissimæ nomen erat Promeneæ: proximæ, Timaretæ: minimæ natu, Nicandræ; et his consentiebant reliqui Dodonæi, qui circa templum in usu erant.

56. De quibus ita mea fert opinio. Si re vera Phœnices eduxerunt feminas sacras, et earum alteram, ut in Africam, alteram, ut in Græciam exportarentur, vendiderunt: videtur mihi ista ipsa femina venundata esse in Thesprotos nunc dictæ Græciæ, antea vero Pelasgiæ vocatæ; deinde ancillans ibidem,

τόθι, ἱδρύσασθαι ὑπὸ φηγῷ πεφυκυίῃ Διὸς ἱρόν· ὥσπερ ἦν οἰκὸς ἀμφιπολεύουσαν ἐν Θήβῃσι ἱρὸν Διὸς, ἔνθα ἀπίκετο, ἐνθαῦτα μνήμην αὐτοῦ ἔχειν. ἐκ δὲ τούτου, χρηστήριον κατηγήσατο, ἐπεί τε συνέλαβε τὴν Ἑλλάδα γλῶσσαν, φάναι δέ οἱ ἀδελφεὴν ἐν Λιβύῃ πεπρῆσθαι ὑπὸ τῶν αὐτῶν Φοινίκων ὑπ᾽ ὧν καὶ αὐτὴ ἐπρήθη.

νζ΄. Πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων ἐπὶ τοῦδε αἱ γυναῖκες, διότι βάρβαροι ἦσαν· ἐδόκεον δέ σφι ὅμοια ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον τὴν πελειάδα ἀνθρωπηΐῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπεί τε τὰ συνετά σφι ηὔδα ἡ γυνή· ἕως δὲ ἐβαρβάριζε, ἐδόκεέ σφι ὄρνιθος τρόπον φθέγγεσθαι. ἐπεὶ τέῳ τρόπῳ ἂν πελειάς γε ἀνθρωπηΐῃ φω-

---

condidisse sub fago ibi nata fanum Jovis; ut erat probabile, solitam Thebis tueri Jovis templum, quo processit, memoriam illic ejus habere: atque hinc oraculum ab ea fuit institutum; et post linguam Græcam apprehensam, dixisse, sororem suam in Africa ab eisdem Phœnicibus, ut ipsa fuisset, venundatam.

57. Quod autem mulieres a Dodonæis columbæ vocatæ sunt, ob id mihi videtur factum, quia barbaræ essent; simile quid avibus sonare ipsis videbantur. Interjecto deinde tempore columbam humana voce loquutam aiunt, postquam quæ ipsi intelligerent, mulier loquebatur; tamdiu volucris modo sonare visa, quamdiu barbare loquebatur;

νῇ φθέγξαιτο; μέλαιναν δὲ λέγοντες εἶναι τὴν πελειάδα, σημαίνουσι ὅτι Αἰγυπτίη ἡ γυνὴ ἦν.

νη΄. Ἡ δὲ μαντηΐη ἥ τε ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι καὶ ἐν Δωδώνῃ, παραπλήσιαι ἀλλήλῃσι τυγχάνουσι ἐοῦσαι. ἔστι δὲ καὶ τῶν ἱρῶν ἡ μαντικὴ ἀπ' Αἰγύπτου ἀπιγμένη· πανηγύρις δὲ ἄρα καὶ πομπὰς καὶ προσαγωγὰς πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι οἱ ποιησάμενοι· καὶ παρὰ τούτων Ἕλληνες μεμαθήκασι. τεκμήριον δέ μοι τούτου, τόδε· αἱ μὲν γὰρ φαίνονται ἐκ πολλοῦ τευ χρόνου ποιεύμεναι, αἱ δὲ Ἑλληνικαὶ νεωστὶ ἐποιήθησαν.

νθ΄. Πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύρις δὲ συχνάς· μά-

---

nam columba quomodo humanam vocem sonaret? nigram autem columbam esse dicentes, Ægyptiam feminam significant.

58. Suntque similia inter se oracula, et illud apud Thebas Ægyptias, et hoc apud Dodonam; estque divinandi in templis ratio ex Ægypto oriunda. Ipsi certe Ægyptii extiterunt principes conventuum sacrorum et pomparum et adductionum, et ab eis Græci didicerunt. Cujus rei hoc apud me argumentum est, quod illa constet ab multo quodam tempore factitata, Græcanica vero recenter facta sunt.

59. Nec vero semel quotannis conventum publicum celebrant Ægyptii, sed frequentes illos, præcipue quidem ac stu-

λιστα μὲν καὶ προθυμότατα ἐς Βούβαστιν πόλιν, τῇ Ἀρτέμιδι· δεύτερα, ἐς Βούσιριν πόλιν τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος ἱρόν· ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ Δέλτα· Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ. τρίτα δ', ἐς Σάϊν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι· τέταρτα δὲ, ἐς Ἡλιούπολιν τῷ Ἡλίῳ· πέμπτα δὲ, ἐς Βουτοῦν πόλιν τῇ Λητοῖ. ἕκτα δὲ, ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ.

ξ'. Ἐς μέν νυν Βούβαστιν πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι τοιάδε. πλέουσί τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξὶ, καὶ πολλόν τι πλῆθος ἑκατέρων ἐν ἑκάστῃ βάρι. αἱ μέν τινες τῶν γυναικῶν, κρόταλα ἔχουσαι, κροταλίζουσι· οἱ δὲ αὐλέουσι κατὰ πάντα τὸν πλόον· αἱ δὲ

---

diosissime ad urbem Bubastin, in honorem Dianæ; secundo loco ad urbem Busirin in honorem Isidis. In hac enim urbe maximum est templum Isidis, ipsa autem urbs in medio Delta Ægypti sita. Est autem Isis quæ Græca lingua dicitur Δημήτηρ, *Ceres*. Tertio celebrant conventus publicos ad urbem Sain, in honorem Minervæ; quarto ad Heliopolin, in honorem Solis; quinto ad urbem Buton, in honorem Latonæ; sexto ad urbem Papremin, in honorem Martis.

60. Ceterum quum se conferunt in urbem Bubastin, hæc faciunt: Navigant viri pariter et mulieres, magnaque est in unaquaque navi utrorumque multitudo. Inter navigandum assidue mulieres aliquot, crepita-

λοιπαὶ γυναῖκες καὶ ἄνδρες ἀείδουσι, καὶ τὰς χεῖρας κροτέουσι· ἐπεὰν δὲ πλέοντες κατά τινα πόλιν ἄλλην γένωνται, ἐγχρίμψαντες τὴν βάριν τῇ γῇ, ποιεῦσι τοιάδε· αἱ μέν τινες τῶν γυναικῶν ποιεῦσι τάπερ εἴρηκα, αἱ δὲ τωθάζουσι, βοῶσαι τὰς ἐν τῇ πόλει ταύτῃ γυναῖκας· αἱ δ' ὀρχέονται, αἱ δ' ἀνασύρονται ἀνιστάμεναι· ταῦτα παρὰ πᾶσαν πόλιν παραποταμίην ποιεῦσι. ἐπεὰν δὲ ἀπίκωνται ἐς τὴν Βούβαστιν, ὁρτάζουσι μεγάλας ἀνάγοντες θυσίας. καὶ οἶνος ἀμπέλινος ἀναισιμοῦται πλέον ἐν τῇ ὁρτῇ ταύτῃ ἢ ἐν τῷ ἅπαντι ἐνιαυτῷ τῷ ἐπιλοίπῳ. συμφοιτέωσι δὲ ὅ, τι ἀνὴρ καὶ γυνή ἐστι, πλὴν παιδίων, καὶ ἐς ἑβδομήκοντα μυριάδας, ὡς οἱ ἐπιχώριοι λέγουσι. ταῦτα μὲν δὴ ταύτῃ ποιέεται.

---

cula tenentes strepunt, viri tibiis canunt: ceteri ceteræque modulantur, manusque complodunt. Atque ut ad quamque aliam urbem perveniunt navigando, talia agunt. Appulsa ad terram navi, mulierum aliæ ea quæ dixi faciunt, aliæ compellantes ejus urbis feminas, ingerunt probra, aliæ saltant, aliæ erectæ attrahunt vestem. Talia in singulis civitatibus ad flumen positis agunt. Quum ad urbem Bubastin perventum est, festum celebrant magnis hostiis offerendis; quo in festo plus vini ex vite absumitur quam in reliquo universi anni tempore. Commeant illuc, ut indigenæ aiunt, virorum ac mulierum, præter pueros, etiam ad septingenta millia.

ξα΄. Ἐν δὲ Βουσίρι πόλι ὡς ἀνάγουσι τῇ Ἴσι τὴν ὁρτὴν, εἴρηται πρότερόν μοι. τύπτονται μὲν γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυριάδες κάρτα πολλαὶ ἀνθρώπων. τόν δὲ τύπτονται, οὔ μοι ὅσιόν ἐστι λέγειν· ὅσοι δὲ Καρῶν εἰσὶ ἐν Αἰγύπτῳ οἰκέοντες, οὗτοι δὲ τοσούτῳ ἔτι πλέω ποιεῦσι τούτων, ὅσῳ καὶ τὰ μέτωπα κόπτονται μαχαίρῃσι· καὶ τούτῳ εἰσὶ δῆλοι ὅτι εἰσὶ ξεῖνοι καὶ οὐκ Αἰγύπτιοι.

ξϐ΄. Ἐς Σάϊν πόλιν ἐπεὰν συλλεχθέωσι τῇσι θυσίῃσι ἔν τινι νυκτὶ, λύχνα καίουσι πάντες πολλὰ ὑπαίθρια περὶ τὰ δώματα κύκλῳ. τὰ δὲ λύχνα ἐστι ἐμϐάφια ἔμπλεα ἁλὸς καὶ ἐλαίου· ἐπιπολῆς δὲ ἔπεστι αὐτὸ τὸ ἐλλύχνιον, καὶ τοῦτο καίεται παννύχιον,

---

61. Atque hæc quidem illic fiunt. At in urbe Busiri quomodo festum Isidi agant, superius a me dictum est. Plangunt enim post sacrificium cuncti et cunctæ, multa sane hominum decem millia: quem autem propter verberent se, non est mihi fas dicere. Sed quotquot Cares Ægyptum incolunt, hi vero tanto plus in talibus faciendis excellunt, ut gladiis quoque frontes concidant. Ex quo facto datur intelligi eos hospites esse, non Ægyptios.

62. Ubi vero in Sain urbem sacrificatum noctu convenerunt, sub dio circum domos universi frequentes lucernas accendunt, vascula scilicet sale et oleo plena; in superficie adest ipsum ellychnium, quod tota ardet no-

καὶ τῇ ὁρτῇ οὔνομα κέεται λυχνοκαΐη· οἳ δ' ἂν μὴ ἔλθωσι τῶν Αἰγυπτίων ἐς τὴν πανήγυριν ταύτην, φυλάσσοντες τὴν νύκτα τῆς θυσίης, καίουσι καὶ αὐτοὶ πάντες τὰ λύχνα. καὶ οὕτω οὐκ ἐν Σάϊ μούνῃ καίεται, ἀλλὰ καὶ ἀνὰ πᾶσαν Αἴγυπτον. ὅτευ δὲ ἕνεκα φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη, ἔστι ἱρὸς περὶ αὐτοῦ λόγος λεγόμενος.

ξγ'. Ἐς δὲ Ἡλίου πόλιν καὶ Βουτοῦν θυσίας μούνας ἐπιτελέουσι φοιτέοντες. ἐν δὲ Παπρήμι θυσίας μὲν καὶ ἱρὰ, κατάπερ καὶ τῇ ἄλλῃ, ποιεῦσι. εὖτ' ἂν δὲ γίνηται καταφερὴς ὁ ἥλιος, ὀλίγοι μέν τινες τῶν ἱρέων περὶ τὤγαλμα πεπονέαται, οἱ δὲ πολλοὶ αὐτέων, ξύλων κορύνας ἔχοντες, ἑστᾶσι τοῦ ἱροῦ ἐν τῇ ἐσόδῳ· ἄλλοι δὲ εὐχωλὰς ἐπιτελέοντες πλεῦνες

te. Cui festo nomen impositum est, Accensio lucernarum. Ad hunc conventum quicunque Ægyptiorum non ierint, observantes sacrificii noctem, et ipsi universi lucernas accendunt: atque ita accenduntur lucernæ non in Sai modo, sed etiam per universam Ægyptum. Qua vero gratia nox hæc lumen et honorem sortita sit, de eo sacer sermo commemoratur.

63. Ad Heliopolin et ad Butum qui veniunt, tantum sacrificant. In Papremi vero, quemadmodum alibi, et sacrificia et res divinas peragunt. Sed quando sol fit declivis, pauci sacerdotes circa simulacrum operati sunt: plures eorum tenentes ligneas clavas stant in ingressu templi; alii plus mille virorum, qui vota exequuntur: cum singulis fustibus frequentes

χιλίων ἀνδρῶν, ἕκαστοι ἔχοντες ξύλα, καὶ οὗτοι ἐπὶ τὰ ἕτερα ἁλέες ἑστᾶσι. τὸ δὲ ἄγαλμα ἐὸν ἐν νηῷ μικρῷ ξυλίνῳ κατακεχρυσωμένῳ, προεκκομίζουσι τῇ προτεραίῃ ἐς ἄλλο οἴκημα ἱρόν. οἱ μὲν δὴ ὀλίγοι οἱ περὶ τὤγαλμα λελειμμένοι ἕλκουσι τετράκυκλον ἅμαξαν, ἄγουσαν τὸν νηόν τε καὶ τὸ ἐν τῷ νηῷ ἐνεὸν ἄγαλμα· οἱ δὲ οὐκ ἐῶσι, ἐν τοῖσι προπυλαίοισι ἑστεῶτες, ἐσιέναι· οἱ δὲ εὐχωλιμαῖοι, τιμωρέοντες τῷ θεῷ, παίουσι αὐτοὺς ἀλεξόμενοι. ἐνθαῦτα μάχη ξύλοισι καρτερὴ γίνεται, κεφαλάς τε συναράσσονται, καὶ, ὡς ἐγὼ δοκέω, πολλοὶ καὶ ἀποθνήσκουσι ἐκ τῶν τρωμάτων, οὐ μέντοι οἵ γε Αἰγύπτιοι ἔφασαν ἀποθνήσκειν οὐδένα.

ξδ΄. Τὴν δὲ πανήγυριν ταύτην ἐκ τοῦδε νομίσαι φασὶ οἱ ἐπιχώριοι· οἰκέειν ἐν τῷ ἱρῷ

alia ex parte consistunt. Porro simulacrum in parvo ligneo sacello deaurato exportant pridie in aliud sacrum habitaculum, paucis illis, qui ministerio simulacri relicti sunt, trahentibus plaustrum quatuor rotarum, quo vehitur facellum cum simulacro quod intus est. Hos ingredi prohibent ii qui in anteforibus stant. At ii qui vota exequuntur, opitulantes deo, percutiunt hos, sese ipsi defensantes. Hic vehemens existit fustuaria pugna mutuo capita contundentium: multique ex vulneribus, ut ego opinor, pereunt, etsi Ægyptii quemquam mori negant.

64. Aiunt autem indigenæ conventum hunc inde institu-

τούτῳ τοῦ Ἄρεος τὴν μητέρα, καὶ τὸν Ἄρεα ἀπότροφον γενόμενον, ἐλθεῖν ἐξανδρωμένον, ἐθέλοντα τῇ μητρὶ συμμίξαι, καὶ τοὺς προπόλους τῆς μητρὸς, οἷα οὐκ ὀπωπότας αὐτὸν πρότερον, οὐ περιορᾷν παριέναι, ἀλλ' ἀπερύκειν· τὸν δ' ἐξ ἄλλης πόλιος ἀγαγόμενον ἀνθρώπους, τούς τε προπόλους τρηχέως περισπεῖν, καὶ ἐσελθεῖν παρὰ τὴν μητέρα. ἀπὸ τούτου τῷ Ἄρεϊ ταύτην τὴν πληγὴν ἐν τῇ ὁρτῇ νενομικέναι φασί. καὶ τὸ μὴ μίσγεσθαι γυναιξὶ ἐν ἱροῖσι, μηδὲ ἀλούτους ἀπὸ γυναικῶν ἐς ἱρὰ ἐσιέναι. οὗτοί εἰσι οἱ πρῶτοι θρησκεύσαντες. οἱ μὲν γὰρ ἄλλοι σχεδὸν πάντες ἄνθρωποι, πλὴν Αἰγυπτίων καὶ Ἑλλήνων, μίσγονται ἐν ἱροῖσι. καὶ ἀπὸ γυναικῶν ἀνιστάμενοι, ἄλουτοι ἐσέρχονται ἐς ἱρὸν, νομί-

tum: templum id incolere matrem Martis, et Martem alibi educatum, venisse virili ætate, eo proposito, ut cum matre sermones misceret: quem maternos ministros, ut qui eum antea non viderant, non per negligentiam sinere ingredi, sed abigere; hunc, ex alia civitate adductis hominibus, illos famulos aspere mulcare, et ad matrem fuisse ingressum. Et ab ea re hanc verberationem aiunt solennem fuisse Marti die festo, et institutum, ne in templo cum feminis coiretur, neve illoti a Venere templa adirent. Hi sunt qui primi ceremoniis vacaverunt; nam ceteri fere omnes mortales, præter Ægyptios ac Græcos, coëunt in templis: et ab uxoribus surgentes, illoti introëunt

ζοντες ἀνθρώπους εἶναι κατάπερ τὰ ἄλλα κτήνεα. καὶ γὰρ τὰ ἄλλα κτήνεα ὁρᾷν καὶ ὀρνίθων γένεα ὀχευόμενα ἔν τε τοῖσι νηοῖσι τῶν θεῶν καὶ ἐν τοῖσι τεμένεσι. εἰ ὦν ἦν τῷ θεῷ τοῦτο μὴ φίλον, οὐκ ἂν οὐδὲ τὰ κτήνεα ποιέειν. οὗτοι μέν νυν τοιαῦτα ἐπιλέγοντες ποιεῦσι, ἐμοί γε οὐκ ἀρεστά.

ξέ. Αἰγύπτιοι δὲ θρησκεύουσι περισσῶς τά τε ἄλλα περὶ τὰ ἱρὰ, καὶ δὴ καὶ τάδε. ἐοῦσα δὲ Αἴγυπτος ὅμουρος τῇ Λιβύῃ, οὐ μάλα θηριώδης ἐστί. τὰ δὲ ἐόντα σφι, ἅπαντα ἱρὰ νενόμισται· καὶ τὰ μὲν, σύντροφα αὐτοῖσι τοῖσι ἀνθρώποισι, τὰ δὲ, οὔ· τῶν δὲ εἵνεκεν ἀνεῖται τὰ ἱρᾶ, εἰ λέγοιμι, καταβαίην ἂν τῷ λόγῳ ἐς τὰ θεῖα πρήγματα, τὰ ἐγὼ φεύγω μάλιστα ἀπηγέεσθαι· τὰ δὲ καὶ εἴρηκα αὐτῶν ἐπιψαύσας, ἀναγκάιῃ κατα-

---

templum, putantes hominem esse ut ceteras animantes. Etenim videre et pecudes alias et volucrum turbas coëuntes in deorum templis atque in fanis; quod si non esset deo gratum, ne pecudes quidem id esse facturas. Et hi quidem talia prætexentes faciunt, quæ mihi non probantur.

65. Ægyptii porro cum in aliis ad sacra pertinentibus, tum vero in his superstitiose agunt. Ægyptus, quum sit Africæ finitima, non tamen admodum bestiis abundat: quæ vero illic sunt, eæ omnes pro sacris habentur, partim alumnæ ipsorum hominum, partim non. Qua autem causa pro sacris habentur, si dixero, ad res divinas oratio mea descendet, quas ego in primis enarrare devito; quarum

λαμβανόμενος εἶπον. νόμος δέ ἐστι περὶ τῶν θηρίων ὧδε ἔχων· μελεδωνοὶ ἀποδεδέχαται τῆς τροφῆς χωρὶς ἑκάστων, καὶ ἔρσενες καὶ θήλεαι τῶν Αἰγυπτίων, τῶν παῖς παρὰ πατρὸς ἐκδέκεται τὴν τιμήν. οἱ δὲ ἐν τῇσι πόλισι ἕκαστοι εὐχὰς τάσδέ σφι ἀποτελέουσι· εὐχόμενοι τῷ θεῷ τοῦ ἂν ᾖ τὸ θηρίον, ξυροῦντες τῶν παιδίων ἢ πᾶσαν τὴν κεφαλὴν, ἢ τὸ ἥμισυ, ἢ τὸ τρίτον μέρος τῆς κεφαλῆς, ἱστᾶσι σταθμῷ πρὸς ἀργύριον τὰς τρίχας· τὸ δ' ἂν ἑλκύσῃ, τοῦτο τῇ μελεδωνῷ τῶν θηρίων διδοῖ. ἡ δ' ἀντ' αὐτοῦ τάμνουσα ἰχθῦς, παρέχει βορὴν τοῖσι θηρίοισι. τροφὴ μὲν δὴ αὐτοῖσι τοιαύτη ἀποδέδεκται. τὸ δ' ἄν τις τῶν θηρίων τούτων ἀποκτείνῃ, ἢν μὲν ἑκὼν, θάνατος ἡ ζημίη· ἢν δὲ ἀέκων, ἀποτίνει ζημίην τὴν ἂν

---

que quicquid dixi delibando, id necessitate coactus dixi. Consuetudo, quæ de bestiis est, ita habet. Eas seorsum singulas educandi curam et viri et feminæ Ægyptiorum susceperunt; in quo honore filius patri succedit. His bestiis singuli, qui in urbibus sunt, vota persolvunt, hunc in modum: suplicantes illi deo, cujus illa bestia est, derasis liberorum capitibus aut in totum, aut ex media, aut ex tertia parte, appendunt crines in lance ad argentum; quod traxerit, id tradunt curatrici bestiarum. Illa pro hoc concisos pisces præbet bestiis escam; talis enim cibus illis præbetur. Quarum si quam quis necaverit, si volens, morte mulctatur: si invitus, plectitur ea mulcta, quam sacerdotes sta-

οἱ ἱρέες τάξωνται. ὃς δ' ἂν ἶβιν ἢ ἴρηκα ἀποκτείνῃ, ἤν τε ἑκὼν, ἤν τε ἀέκων, τεθνάναι ἀνάγκη.

ξϛ'. Πολλῶν δὲ ἐόντων ὁμοτρόφων τοῖσι ἀνθρώποισι θηρίων, πολλῷ ἂν ἔτι πλέω ἐγίνετο, εἰ μὴ κατελάμβανε τοὺς αἰελούρους τοιάδε. ἐπεὰν τέκωσι αἱ θήλεαι, οὐκέτι φοιτέουσι παρὰ τοὺς ἔρσενας· οἱ δὲ, διζήμενοι μίσγεσθαι αὐτῇσι, οὐκ ἔχουσι. πρὸς ὦν ταῦτα σοφίζονται τάδε· ἁρπάζοντες ἀπὸ τῶν θηλέων, καὶ ὑπαιρεόμενοι τὰ τέκνα, κτείνουσι, κτείναντες μέντοι, οὐ πατέονται· αἱ δὲ, στερισκόμεναι τῶν τέκνων, ἄλλων δὲ ἐπιθυμέουσαι, οὕτω δὴ ἀπικνέονται παρὰ τοὺς ἔρσενας. φιλότεκνον δὲ τὸ θηρίον. πυρκαΐης δὲ γινομένης, θεῖα πρήγματα καταλαμβάνει

---

tuerint. Quisquis tamen ibin aut accipitrem necaverit, sive volens sive invitus, necessario morte afficitur.

66 Quum autem multæ bestiæ una cum hominibus victitent, multo tamen plures essent, nisi hoc accideret felibus. Feles postquam sunt enixæ, non amplius adeunt masculos: eas isti coëundi gratia indagantes, tamen potiri nequeunt: ergo contra id talia comminiscuntur. Raptos et subductos earum fetus occidunt, non tamen occisos edunt. Illæ fetibus orbatæ, cupiditate aliorum, ita demum ad mares se conferunt, amantissima enim fetuum bestia est. Felem incendio orto divina res occupat; nam Ægyptii, per intervalla dispositi ig-

τοὺς αἰέλουρους· οἱ μὲν γὰρ Αἰγύπτιοι διαστάντες φυλακὰς ἔχουσι τῶν αἰελούρων, ἀμελήσαντες σβεννύναι τὸ καιόμενον· οἱ δὲ αἰέλουροι, διαδύοντες, καὶ ὑπερθρώσκοντες τοὺς ἀνθρώπους, ἐσάλλονται ἐς τὸ πῦρ. ταῦτα δὲ γινόμενα, πένθεα μεγάλα τοὺς Αἰγυπτίους καταλαμβάνει. ἐν ὁτέοισι δ᾽ ἂν οἰκίοισι αἰέλουρος ἀποθάνῃ ἀπὸ τοῦ αὐτομάτου, οἱ ἐνοικέοντες πάντες ξυρέονται τὰς ὀφρύας μούνας· παρ᾽ ὁτέοισι δ᾽ ἂν κύων, πᾶν τὸ σῶμα καὶ τὴν κεφαλήν.

ξζ΄. Ἀπάγονται δὲ οἱ αἰέλουροι ἀποθανόντες ἐς ἱρὰς στέγας, ἔνθα θάπτονται ταριχευθέντες ἐν Βουβάστι πόλι· τὰς δὲ κύνας ἐν τῇ ἑωϋτῶν ἕκαστοι πόλι θάπτουσι ἐν ἱρῇσι θήκῃσι. ὡς δ᾽ αὔτως τῇσι κυσὶ οἱ ἰχνευταὶ θάπτονται. τὰς δὲ μυγαλὰς καὶ τοὺς ἴρηκας

---

nem extinguere negligentes custodias felium agunt. At illæ aut intercurrendo, aut transiliendo ipsos homines, in ignem insiliunt. Hoc dum contingit, ingenti luctu afficiuntur Ægyptii. Quibuscunque autem in domibus felis sine manu hominum oppetit mortem, earum habitatores cuncti sola supercilia radunt: totum autem corpus et caput, in quorum domibus *moritur* canis.

67. Abducuntur autem feles mortuæ ad sacra tecta, ubi salitæ sepeliuntur in urbe Bubasti. Canes feminas in sua quisque urbe tumulant, sacratis in loculis. Eodem modo quo canes feminæ, ichneutæ (*vestigatores*) sepeliuntur. Mygalas, et acccipitres in urbem Butum asportant,

ἀπάγουσι ἐς Βουτοῦν πόλιν· τὰς δὲ ἴβις ἐς Ἑρμέω πόλιν. τὰς δὲ ἄρκτους ἐούσας σπανίας, καὶ τοὺς λύκους, οὐ πολλῷ τέῳ ἐόντας ἀλωπέκων μέζονας, αὐτοῦ θάπτουσι τῇ ἂν εὑρεθέωσι κείμενοι.

ξή. Τῶν δὲ κροκοδείλων φύσις ἐστὶ τοιήδε· τοὺς χειμεριωτάτους μῆνας τέσσερας ἐσθίει οὐδέν· ἐὸν δὲ τετράπουν, χερσαῖον καὶ λιμναῖόν ἐστι· τίκτει μὲν γὰρ ὠὰ ἐν γῇ, καὶ ἐκλέπει· καὶ τὸ πολλὸν τῆς ἡμέρης διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ· θερμότερον γάρ δή ἐστι τὸ ὕδωρ τῆς τε αἰθρίης καὶ τῆς δρόσου. πάντων δὲ τῶν ἡμεῖς ἴδμεν θνητῶν, τοῦτο ἐξ ἐλαχίστου μέγιστον γίνεται. τὰ μὲν γὰρ ὠὰ, χηνέων οὐ πολλῷ μέζονα τίκτει· καὶ ὁ νεοσσὸς κατὰ λόγον τοῦ

ibides vero Hermopolin; ursas autem, quæ raræ sunt, et lupos non multo vulpibus grandiores, eo loco sepeliunt ubi jacentes inveniuntur.

68. At crocodilis inest talis natura. Quatuor mensibus maxime hybernis nihil omnino edit: et, quum sit quadrupes, tamen terrestre et paludosum est. Nam ova parit in terra, excluditque: et plerumque diei in sicco agit, sed totam noctem in flumine, quippe calidiore tum aqua subdivo sereno et rore. Ex omnibus quæ novimus animalibus, hoc maximum existit ex minimo; siquidem ova quod attinet, gignit haud multo majora anserum, et proportione ovi fetus excluditur: at crescens, ad septendecim et amplius cubitos pervenit; oculos habet suillos, dentes magnos proportione

ᾠοῦ γίνεται· αὐξανόμενος δὲ, γίνεται καὶ ἐς ἑπτακαίδεκα πήχεας, καὶ μέζων ἔτι. ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας, κατὰ λόγον τοῦ σώματος· γλῶσσαν δὲ μοῦνον θηρίων οὐκ ἔφυσε· οὐδὲ τὴν κάτω κινέει γνάθον, ἀλλὰ καὶ τοῦτο μοῦνον θηρίων τὴν ἄνω γνάθον προσάγει τῇ κάτω· ἔχει δὲ καὶ ὄνυχας καρτεροὺς, καὶ δέρμα λεπιδωτὸν ἄῤῥηκτον ἐπὶ τοῦ νώτου· τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ ὀξυδερκέστατον. ἅτε δὴ ὦν ἐν ὕδατι δίαιταν ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων. τὰ μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν· ὁ δὲ τροχῖλος εἰρηναῖόν οἵ ἐστὶ, ἅτε ὠφελεομένῳ πρὸς αὐτοῦ· ἐπεὰν γὰρ ἐς τὴν γῆν ἐκβῇ ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος, καὶ ἔπειτα χάνῃ, (ἔωθεε γὰρ τοῦτο ὡς ἐπίπαν ποιέειν πρὸς τὸν ζέφυρον)

---

corporis, et prominentes, cui ex omnibus bestiis soli lingua innata non est. Idem inferiorem maxillam non movet, sed etiam solum ex animalibus superiorem inferiori admovet. Ungues quoque robustos habet, pellemque squamatam circa tergum infractam. Inter aquas cæcus, sub dio perspicacissimus. Itaque quod in aqua vitam degat, os fert introrsum hirudinibus refertum. Quumque eum ceteræ volucres ac bestiæ fugiant, solus trochilus pacem cum eo agit, utpote a quo percipiat utilitatem. Etenim posteaquam crocodilus ex aqua in terram egressus est, ac deinde hiavit (semper enim fere hoc ad zephyrum

ἐνθαῦτα ὁ τροχῖλος ἐσδύνων ἐς τὸ στόμα αὐτοῦ, καταπίνει τὰς βδέλλας· ὁ δὲ, ὠφελεύμενος ἥδεται, καὶ οὐδὲν σίνεται τὸν τροχῖλον·

ξθ'. Τοῖσι μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι, τοῖσι δ' οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσι. οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίριος λίμνην οἰκέοντες καὶ κάρτα ἥγηνται αὐτοὺς εἶναι ἱρούς. ἐκ πάντων δὲ ἕνα ἑκάτεροι τρέφουσι κροκόδειλον, δεδιδαγμένον εἶναι χειροήθεα· ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες, καὶ ἀμφιδέας περὶ τοὺς ἐμπροσθίους πόδας, καὶ σιτία ἀπόταχτα διδόντες, καὶ ἱρήϊα, καὶ περιέποντες ὡς κάλλιστα ζῶντας· ἀποθανόντας δὲ ταριχεύοντες, θάπτουσι ἐν ἱρῇσι θήκῃσι. οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκέοντες, καὶ ἐσθίουσι αὐτοὺς,

---

facere solet) tunc in ejus os trochilus penetrans, deglutit illas sanguisugas. Qua utilitate delectatus, nihil omnino trochilum lædit.

69. Quibusdam sane Ægyptiorum crocodili sacri sunt, quibusdam non sunt, sed veluti hostes exagitant. Sacros admodum esse eos, existimant qui circa Thebas et Mœrios stagnum incolunt; quorum utrique unum ex omnibus crocodilis alunt edoctum manu tractari, appendentes ejus auribus inaures, nempe lapillos fusiles aureosque, et primores pedes catenulis aut annulis cingentes; cibaria quoque statuta ac sacrificia præbentes, et curantes ut quam pulcherrime vivant; at ubi mortem obierunt, condientes sacris in loculis sepe-

οὐκ ἡγεόμενοι ἱροὺς εἶναι. καλέονται δὲ οὐ κροκόδειλοι ἀλλὰ χάμψαι. κροκοδείλους δὲ Ἴωνες ὠνόμασαν, εἰκάζοντες αὐτῶν τὰ εἴδεα τοῖσι παρὰ σφίσι γινομένοισι κροκοδείλοισι τοῖσι ἐν τῇσι αἱμασιῇσι.

ό. Ἄγραι δέ σφεων πολλαὶ κατεστέασι, καὶ παντοῖαι· ἡ δ' ὦν ἐμοίγε δοκέει ἀξιωτάτη ἀπηγήσιος εἶναι, ταύτην γράφω· ἐπεὰν νῶτον ὑὸς δελεάσῃ περὶ ἄγκιστρον, μετίει ἐς μέσον τὸν ποταμόν. αὐτὸς δὲ ἐπὶ τοῦ χείλεος τοῦ ποταμοῦ ἔχων δέλφακα ζωὴν, ταύτην τύπτει· ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος, ἵεται κατὰ τὴν φωνήν· ἐντυχὼν δὲ τῷ νώτῳ, καταπίνει. οἱ δὲ ἕλκουσι. ἐπεὰν δὲ ἐξελκυσθῇ ἐς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῷ κατ' ὦν ἔπλασε αὐτοῦ τοὺς ὀφθαλμούς. τοῦτο δὲ

---

fiunt. At qui circa Elephantinam urbem incolunt, quod sacros esse non censeant, etiam comedunt. Neque vero crocodili vocantur, sed champsæ: verum Iones appellavere crocodilos, illi generi crocodilorum, quod apud eos in sepibus gignitur, ipsorum formam comparantes.

70. Hos capiendi quum sint multa et omnimoda genera, hoc, quod maxime mihi dignum relatu videtur, scribo. Ubi tergum suillum ad illecebras hamo circumdederit, committit in medium flumen, ipse in labro fluminis porcellum, quem vivum tenet, verberat; cuius vocem crocodilus audiens, versus illam tendit, nactusque tergum devorat; illi vero trahunt. Et posteaquam in terram attractus est, ante omnia ejus oculos ve-

ποιήσας, κάρτα εὐπετέως τὰ λοιπὰ χειροῦται· μὴ ποιήσας δὲ τοῦτο, σὺν πόνῳ.

οα΄. Οἱ δὲ ἵπποι οἱ ποτάμιοι νομῷ μὲν τῷ Παπρημίτῃ ἱροί εἰσι, τοῖσι δὲ ἄλλοισι Αἰγυπτίοισι οὐκ ἱροί· φύσιν δὲ παρέχονται ἰδέης τοιήνδε, τετράπουν ἐστι, δίχηλον, ὁπλαὶ βοὸς, σιμὸν, λοφιὴν ἔχον ἵππου, χαυλιόδοντας φαῖνον, οὐρὴν ἵππου, καὶ φωνήν· μέγαθος, ὅσον τε βοῦς ὁ μέγιστος· τὸ δέρμα δ᾽ αὐτοῦ οὕτω δή τι παχύ ἐστι, ὥστε αὔου γενομένου, ξυστὰ ποιεέσθαι ἀκόντια ἐξ αὐτοῦ.

οβ΄. Γίνονται δὲ καὶ ἐνύδριες ἐν τῷ ποταμῷ, τὰς ἱρὰς ἥγηνται εἶναι. νομίζουσι δὲ καὶ πάντων ἰχθύων τὸν καλεύμενον λεπιδωτὸν, ἱρὸν εἶναι, καὶ τὴν ἔγχελυν. ἱροὺς δὲ τούτους εἶναι τοῦ Νείλου φασι· καὶ τῶν ὀρνίθων τοὺς χηναλώπεκας.

---

nator cœno opplet. Hoc acto, cetera facile sane comprehenditur; sin, cum labore.

71. Fluviatiles vero equi in plaga Papremitana sacri, in cetera Ægypto; haud sacri sunt, talem speciem naturamque habentes. Quadrupes est, bifidis pedibus, ungulis bovinis, simo naso, equina juba, exertos dentes ostentans, equina cauda et voce, magnitudine maximi tauri, tam crasso corio, ut ex eo arefacto fiant jacula rasa.

72. Gignuntur præterea in fluvio lutræ, quos sacratos esse arbitrantur. Arbitrantur etiam sacrum esse ex omnibus piscibus, qui vocatur squamosus, atque etiam anguillam. Hos pisces aiunt sacros Nili esse; ex volucribus vero vulpanseres.

ογ'. Ἔστι δὲ καὶ ἄλλος ὄρνις ἱρὸς, τῷ οὔνομα φοῖνιξ. ἐγὼ μέν μιν οὐκ εἶδον, εἰ μὴ ὅσον γραφῇ· καὶ γὰρ δὴ καὶ σπάνιος ἐπιφοιτᾷ σφι, δι' ἐτέων, ὡς Ἡλιουπολῖται λέγουσι, πεντακοσίων. φοιτᾷν δὲ τότε φασὶ ἐπεάν οἱ ἀποθάνῃ ὁ πατήρ. ἔστι δὲ εἰ τῇ γραφῇ παρόμοιος, τοσόσδε καὶ τοιόσδε· τὰ μὲν αὐτοῦ χρυσόκομα τῶν πτερῶν, τὰ δὲ, ἐρυθρά· ἐς τὰ μάλιστα αἰετῷ περιήγησιν ὁμοιότατος, καὶ τὸ μέγαθος. τοῦτον δὲ λέγουσι μηχανᾶσθαι τάδε, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες ἐξ Ἀραβίης ὁρμεόμενον, ἐς τὸ ἱρὸν τοῦ Ἡλίου κομίζειν τὸν πατέρα, ἐν σμύρνῃ ἐμπλάσσοντα, καὶ θάπτειν ἐν τοῦ Ἡλίου τῷ ἱρῷ. κομίζειν δὲ οὕτω· πρῶτον, τῆς σμύρνης ᾠὸν πλάσσειν ὅσον τε δυνατός ἐστι φέρειν. μετὰ δὲ, πειρᾶσθαι αὐτὸ φορέοντα· ἐπεὰν δὲ ἀποπειρηθῇ,

---

73. Est et alia volucris sacra, nomine phœnix, quam equidem non vidi nisi in pictura; etenim perrara ad eos commeat, quingentis, ut aiunt Heliopolitani, annis, et tunc demum quum pater ei decessit. Is, si picturæ assimilis est, talis tantusque est. Pennæ coloris partim aurei, partim rubei, maxima ex parte cum habitu tum magnitudine simillimus aquilæ. Eum aiunt, quod mihi non fit verisimile, hoc excogitare; ex Arabia proficiscentem in templum Solis gestare patrem, quem myrrha obvolvit, et in Solis templo humare; sic autem gestare: primum myrrhæ ovum fingere quantum ipse ferre possit: deinde ferendo illud expe-

οὕτω δὴ κοιλήναντα τὸ ὠὸν, τὸν πατέρα ἐς αὐτὸ ἐντιθέναι. σμύρνῃ δὲ ἄλλῃ ἐμπλάσσειν τοῦτο, καθότι τοῦ ὠοῦ ἐγκοιλήνας ἐνέθηκε τὸν πατέρα. ἐσκειμένου δὲ τοῦ πατρὸς, γίνεσθαι τὠϋτὸ βάρος. ἐμπλάσαντα δὲ, κομίζειν μιν ἐπ' Αἰγύπτου ἐς τοῦ Ἡλίου τὸ ἱρόν. ταῦτα μὲν τοῦτον τὸν ὄρνιν λέγουσι ποιέειν.

οδ'. Εἰσὶ δὲ περὶ Θήβας ἱροὶ ὄφιες, ἀνθρώπων οὐδαμῶς δηλήμονες· οἳ μεγάθεϊ ἐόντες μικροὶ δύο κέρεα φορέουσι, πεφυκότα ἐξ ἄκρης τῆς κεφαλῆς. τοὺς ἀποθανόντας θάπτουσι ἐν τῷ ἱρῷ τοῦ Διός· τούτου γάρ σφεας τοῦ θεοῦ φασὶ εἶναι ἱρούς.

οε'. Ἔστι δὲ χῶρος τῆς Ἀραβίης κατὰ Βουτοῦν πόλιν μάλιστά κῃ κείμενος· καὶ ἐς τοῦτο τὸ χωρίον ἦλθον πυνθανόμενος περὶ τῶν πτερω-

---

riri; hoc satis expertum, ita demum ovum excavare, atque in illud parentem ponere: et qua parte ovi exinaniti patrem intulit, eam partem alia myrrha farcire: et quum tantundem ponderis imposito parente effectum sit, obstructo rursus foramine, bajulare illud versus Ægyptum in templum Solis. Hæc facere hanc avem commemorant.

74. At circa Thebas sunt sacri serpentes, nihil omnino hominibus noxii, pusillo corpore, binis præditi cornibus, e summo capite enatis: quos defunctos in Jovis æde sepeliunt; huic enim deo sacros illos esse prædicant.

75. Est autem Arabiæ locus, ad Butun urbem fere positus: ad quem locum ego me contuli inquirens de serpentibus volucri-

τῶν ὀφίων· ἀπικόμενος δὲ, εἶδον ὀστέα ὀφίων, καὶ ἀκάνθας· πλήθεϊ μὲν ἀδύνατα ἀπηγήσασθαι· σωροὶ δὲ ἦσαν ἀκανθέων καὶ μεγάλοι, καὶ ὑποδεέστεροι, καὶ ἐλάσσονες ἔτι τούτων. πολλοὶ δὲ ἦσαν οὗτοι. ἔστι δὲ ὁ χῶρος οὗτος ἐν τῷ αἱ ἄκανθαι κατακεχύαται, τοιόσδε τις· ἐσβολὴ ἐξ οὐρέων στεινῶν ἐς πεδίον μέγα· τὸ δὲ πεδίον τοῦτο συνάπτει τῷ Αἰγυπτίῳ πεδίῳ. λόγος δέ ἐστι, ἅμα τῷ ἔαρι πτερωτοὺς ὄφις ἐκ τῆς Ἀραβίης πέτεσθαι ἐπ' Αἰγύπτου· τὰς δ' ἴβις τὰς ὄρνιθας ἀπαντώσας ἐς τὴν ἐσβολὴν ταύτης τῆς χώρης, οὐ παριέναι τοὺς ὄφις, ἀλλὰ κατακτείνειν. καὶ τὴν ἴβιν διὰ τοῦτο τὸ ἔργον τετιμῆσθαι λέγουσι Ἀράβιοι μεγάλως πρὸς Αἰγυπτίων. ὁμολογέουσι δὲ καὶ Αἰγύπτιοι διὰ ταῦτα τιμᾶν τὰς ὄρνιθας ταύτας.

---

bus. Eo quum perveni, ossa serpentum aspexi et spinas, multitudine supra modum ad enarrandum; spinarum quippe acervi erant etiam magni, et his alii atque alii minores, ingenti numero. Est autem hic locus, ubi spinæ effusæ jacebant, hujuscemodi : ex arctis montibus introitus in vastam planitiem Ægyptiæ contiguam. Fertur ex Arabia serpentes alatos ineunte statim vere in Ægyptum volare, sed eis ad ingressum illius planitiei occurrentes aves ibides, non permittere, sed ipsos interimere : et ob id opus ibin magno in honore ab Ægyptiis haberi Arabes aiunt, confitentibus et ipsis Ægyptiis, idcirco se his avibus honorem exhibere.

οϛ΄. Εἶδος δὲ τῆς μὲν ἴβιος τόδε· μέλαινα δεινῶς πᾶσα, σκέλεα δὲ φορέει γεράνου, πρόσωπον δὲ ἐς ταμάλιστα ἐπίγρυπον, μέγαθος ὅσον κρέξ. τῶν μὲν δὴ μελαινέων τῶν μαχομενέων πρὸς τοὺς ὄφις ἥδ' ἰδέη. τῶν δ' ἐν ποσὶ μᾶλλον εἱλευμένων τοῖσι ἀνθρώποισι, (διξαὶ γάρ δή εἰσι αἱ ἴβιες) ψιλὴ τὴν κεφαλὴν, καὶ τὴν δειρὴν πᾶσαν· λευκὴ πτεροῖσι, πλὴν κεφαλῆς, καὶ τοῦ αὐχένος, καὶ ἄκρων τῶν πτερύγων, καὶ τοῦ πυγαίου ἄκρου· ταῦτα δὲ τὰ εἶπον πάντα, μέλανά ἐστι δεινῶς· σκέλεα δὲ καὶ πρόσωπον, ἐμφερὴς τῇ ἑτέρῃ. τοῦ δὲ ὄφιος ἡ μορφὴ, οἵηπερ τῶν ὕδρων. πτίλα δὲ οὐ πτερωτὰ φορέει, ἀλλὰ τοῖσι τῆς νυκτερίδος πτεροῖσι μάλιστά κῃ ἐμφερέστατα. τοσαῦτα μὲν θηρίων πέρι ἱρῶν εἰρήσθω.

---

76. Ejus avis species talis est. Nigra tota vehementer est, cruribus instar gruis, rostro maximum in modum adunco, eadem qua crex magnitudine. Et hæc quidem species est nigrarum, quæ cum serpentibus pugnant. At earum, quæ ante pedes hominibus versantur magis, (nam duplices ibides sunt) nudum caput ac totum collum, pennæ candidæ, præter caput cervicemque, et extrema alarum et natium; hæc omnia quæ dixi sunt vehementer nigra; crura vero et rostrum alteri consentanea. Serpentis porro figura qualis hydrarum: alas non pennatas gerit, sed alis vespertilionis valde similes. Hactenus de sacris bestiis dictum sit.

οζ'. Αὐτῶν δὲ δὴ Αἰγυπτίων οἱ μὲν περὶ τὴν σπειρομένην Αἴγυπτον οἰκέουσι, μνήμην ἀνθρώπων πάντων ἐπασκέοντες, μάλιστα λογιώτατοί εἰσι μακρῷ τῶν ἐγὼ ἐς διάπειραν ἀπικόμην. τρόπῳ δὲ ζόης τοιῷδε δὴ χρέονται. συρμαΐζουσι τρεῖς ἡμέρας ἐπεξῆς μηνὸς ἑκάστου, ἐμέτοισι θηρώμενοι τὴν ὑγιείην καὶ κλύσμασι, νομίζοντες ἀπὸ τῶν τρεφόντων σιτίων πάσας τὰς νούσους τοῖσι ἀνθρώποισι γίνεσθαι. εἰσὶ μὲν γὰρ καὶ ἄλλως Αἰγύπτιοι μετὰ Λίβυας ὑγιηρέστατοι πάντων ἀνθρώπων, τῶν ὡρέων, ἐμοὶ δοκέειν, εἵνεκα, ὅτι οὐ μεταλλάσσουσι αἱ ὧραι. ἐν γὰρ τῇσι μεταβολῇσι τοῖσι ἀνθρώποισι αἱ νοῦσοι μάλιστα γίνονται, τῶν τε ἄλλων πάντων, καὶ δὴ καὶ τῶν ὡρέων μάλιστα. ἀρτοφαγέουσι δὲ ἐκ τῶν ὀλυρέων

77. Ipsorum autem Ægyptiorum ii, qui circa partem Ægypti seminari solitam habitant, memoriam omnium hominum maxime exercentes, sunt fere eorum, in quorum ego veni experientiam, excellentissimi. Tali autem vitæ genere utuntur. Singulis mensibus triduo continenti purgant se, vomitibus atque clysteribus venantes sanitatem, existimantes omnes languores hominibus oriri ex cibis quibus aluntur. Nam sunt alioqui Ægyptii omnium hominum, secundum Afros, maxime salubri corpore, tempestatum anni, ut mihi videtur, beneficio, quæ non immutantur: ex illis enim mutationibus tum aliarum rerum, tum præsertim tempestatum anni, præcipue existunt in

ποιεῦντες ἄρτους, τοὺς ἐκεῖνοι κυλλῆστις ὀνομάζουσι. οἴνῳ δ' ἐκ κριθέων πεποιημένῳ διαχρέονται· οὐ γάρ σφι εἰσὶ ἐν τῇ χώρῃ ἄμπελοι· ἰχθύων δὲ τοὺς μὲν, πρὸς ἥλιον αὐήναντες, ὠμοὺς σιτέονται, τοὺς δ', ἐξ ἅλμης τεταριχευμένους. ὀρνίθων δὲ τούς τε ὄρτυγας, καὶ τὰς νήσσας, καὶ τὰ σμικρὰ τῶν ὀρνίθιων ὠμὰ σιτέονται, προταριχεύσαντες. τὰ δὲ ἄλλα ὅσα ἢ ὀρνίθων ἢ ἰχθύων ἐστί σφι ἐχόμενα, χωρὶς ἢ ὁκόσοι σφι ἱροὶ ἀποδεδέχαται, τοὺς λοιποὺς ὀπτοὺς καὶ ἑφθοὺς σιτέονται.

οη'. Ἐν δὲ τῇσι συνουσίῃσι τοῖσι εὐδαίμοσι αὐτέων, ἐπεὰν ἀπὸ δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον πεποιημένον, μεμιμημένον ἐς ταμάλιστα καὶ γραφῇ καὶ ἔργῳ· μέγαθος ὅσιν τε πάντῃ πηχυαῖον, ἢ δί-

---

hominibus morbi. Panibus vescuntur quos ex farre conficiunt, eosque cyllestes nominant. Vino utuntur facto ex hordeo: neque enim illis sunt in regione vites. Victitant quoque tum piscibus, partim crudis ad solem arefactis, partim salsugine conditis; tum avibus crudis, prius tamen sale conditis, coturnicibus anatibusque et parvis avibus; ceteris autem vel volucribus vel piscibus, præter illos, qui ab eis sunt recepti pro sacris, partim assis, partim elixis vescuntur.

78. Apud locupletes eorum in conviviis, quum a cœna discessum sit, circumfert aliquis in loculo mortuum e ligno factum, sed pictura et opere maxime imitantem; longitudine cubitali omnino, aut bicubitali; ostendensque singulis convivarum,

πῆχυν· δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων, λέγει, "Ἐς τοῦτον ὁρέων, πῖνέ τέ καὶ τέρπευ· "ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος·" ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι.

οθ'. Πατρίοισι δὲ χρεόμενοι νόμοισι, ἄλλον οὐδένα ἐπικτέονται· τοῖσι ἄλλά τε ἐπάξιά ἐστι νόμιμα, καὶ δὴ καὶ ἄεισμα ἔνεστι Λῖνος, ὅσπερ ἔν τε Φοινίκῃ ἀοίδιμός ἐστι καὶ ἐν Κύπρῳ, καὶ ἄλλῃ. κατὰ μέντοι ἔθνεα οὔνομα ἔχει. συμφέρεται δὲ ὡϋτὸς εἶναι τὸν οἱ Ἕλληνες Λῖνον ὀνομάζοντες ἀείδουσι· ὥστε πολλὰ μὲν καὶ ἄλλα ἀποθωϋμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων· ἐν δὲ δὴ καὶ τὸν Λῖνον ὁκόθεν ἔλαβον τοὔνομα. φαίνονται δὲ ἀεί κοτε τοῦτον ἀείδοντες· ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λῖνος καλεύμενος Μανέρως. ἔφασαν δέ μιν Αἰγύ-

---

ait; in hunc intuens pota et oblectare; talis enim post mortem es futurus. Hæc illi inter convivia faciunt.

79. Contenti vero hymnis patriis, nullum alium iis asciscunt. Et alia quædam laudabilia sunt instituta, tum vero etiam cantilena usurpatur Linus, quæ et in Phœnice decantata est et in Cypro, et alibi; quæ tamen nomen pro differentia gentium habet. Eadem tamen congruit cum ea, quam Græci cantant, appellantes Linum; ut ego admirer cum alia multa, quæ sunt in Ægypto, tum vero, unde id nomen Linum acceperint, quem semper quodammodo decantare cognoscuntur. Vocatur autem Linus Ægyptiace Maneros: quem Ægyptii tradiderunt,

πτιοι τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι· ἀποθανόντα δ' αὐτὸν ἄνωρον, θρήνοισι τούτοισι ὑπ' Αἰγυπτίων τιμηθῆναι. καὶ ἀοιδήν τε ταύτην πρώτην καὶ μούνην σφίσι γενέσθαι.

π'. Συμφέρονται δὲ καὶ τόδε ἄλλο Αἰγύπτιοι Ἑλλήνων μούνοισι Λακεδαιμονίοισι. οἱ νεώτεροι αὐτέων τοῖσι πρεσβυτέροισι συντυγχάνοντες, εἴκουσι τῆς ὁδοῦ, καὶ ἐκτράπονται· καὶ ἐπιοῦσι, ἐξ ἕδρης ὑπανιστέαται. τόδε μέντοι ἄλλοισι Ἑλλήνων οὐδαμοῖσι συμφέρονται· ἀντὶ τοῦ προσαγορεύειν ἀλλήλους ἐν τῇσι ὁδοῖσι προσκυνέουσι, κατιέντες μέχρι τοῦ γούνατος τὴν χεῖρα.

πα'. Ἐνδεδύκασι δὲ κιθῶνας λινέους, περὶ τὰ σκέλεα θυσανωτοὺς, οὓς καλέουσι καλασίρις· ἐπὶ τούτοισι δὲ εἰρίνεα εἵματα λευ-

---

quum filius unicus extitisset primi Ægypti regis, præmaturaque morte decessisset, his lamentis ab Ægyptiis fuisse decoratum; et cantilenam hanc primam eamque solam ipsos habuisse.

80. Congruunt præterea in hoc cum solis Græcorum Lacedæmoniis Ægyptii, quod minores majoribus natu obvii cedunt via, ac deflectunt, advenientibusque e sedili assurgunt. Attamen in hac re cum nullis aliis Græcorum conveniunt. In viis pro salutatione mutua adorant, genu tenus demissa manu.

81. Vestibus amiciuntur lineis, circa crura fimbriatis, quas calasires appellant, super quas candida ferunt amicula lanea superin-

κὰ ἐπαναβληδὸν φορέουσι. οὐ μέν τοι ἐς γε τὰ ἱρὰ ἐσφέρεται εἰρίνεα, οὐδὲ συγκαταθάπτεταί σφι· οὐ γὰρ ὅσιον. ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλεομένοισι καὶ Πυθαγορείοισι. οὐδὲ γὰρ τούτων τῶν ὀργίων μετέχοντα, ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι θαφθῆναι. ἔστι δὲ περὶ αὐτῶν ἱρὸς λόγος λεγόμενος.

πβ. Καὶ τάδε ἄλλα Αἰγυπτίοισί ἐστὶ ἐξευρημένα. μείς τε καὶ ἡμέρη ἑκάστη θεῶν ὅτευ ἐστί· καὶ τῇ ἕκαστος ἡμέρῃ γενόμενος, ὁτέοισι ἐγκυρήσει, καὶ ὅκως τελευτήσει, καὶ ὁκοῖός τις ἔσται. καὶ τούτοισι τῶν Ἑλλήνων οἱ ἐν ποιήσει γενόμενοι ἐχρήσαντο. τέρατά τε πλέω σφὶν ἀνεύρηται ἢ τοῖσι ἄλλοισι ἅπασι ἀνθρώποισι. γενομένου γὰρ τέρατος, φυλάσσουσι γραφόμενοι τὼποβαῖνον· καὶ ἤν κοτε

jecta. Laneæ tamen vestes neque in ædes sacras inferuntur, neque una cum cadavere sepeliuntur: profanum enim est. Consentanea vero hæc sunt iis, quæ Orphica appellantur et Pythagorea. Nam harum quoque ceremoniarum participem laneis in vestibus humari religiosum est; de quibus sacra redditur narratio.

82. Alia insuper sunt ab Ægyptiis excogitata, quis mensis diesve cujus deorum sit, et quo quis die genitus qualia sortietur, et quam mortem obibit, et qualis existet. Quibus rebus Græci qui in poësi versati sunt, usi fuerunt. Plura quinetiam ab eis prodigia reperta sunt, quam a ceteris omnibus hominibus; nam quum prodigium extitit, scribunt id, observantes quomodo eveniat: et, si quando postmo-

ὕστερον παραπλήσιον τούτῳ γένηται, κατὰ τὠϋτὸ νομίζουσι ἀποβήσεσθαι·

πγ΄. Μαντικὴ δὲ αὐτοῖσι ὧδε διακέεται. ἀνθρώπων μὲν οὐδενὶ προσκέεται ἡ τέχνη, τῶν δὲ θεῶν μετεξετέροισι· καὶ γὰρ Ἡρακλέος μαντήϊον αὐτόθι ἐστὶ, καὶ Ἀπόλλωνος, καὶ Ἀθήναιης, καὶ Ἀρτέμιδος, καὶ Ἄρεος, καὶ Διός, καὶ ὅγε μάλιστα ἐν τιμῇ ἄγονται πάντων τῶν μαντηΐων, Λητοῦς ἐν Βουτοῖ πόλι ἐστί. οὐ μέντοι αἵγε μαντήϊαί σφι κατὰ τὠϋτὸ ἑστᾶσι, ἀλλὰ διάφοροί εἰσι.

πδ΄. Ἡ δὲ ἰητρικὴ κατὰ τάδέ σφι δέδασται. μιῆς νούσου ἕκαστος ἰητρός ἐστι, καὶ οὐ πλεόνων· πάντα δ' ἰητρῶν ἐστὶ πλέα. οἱ μὲν γὰρ, ὀφθαλμῶν, ἰητροὶ κατεστέασι· οἱ δὲ, κεφαλῆς· οἱ δὲ, ὀδόντων· οἱ δὲ, τῶν κατὰ νηδύν· οἱ δὲ, τῶν ἀφανέων νούσων.

---

dum hujus simile extiterit, exemplo prioris putant eventurum.

83. Divinatio apud eos ita est constituta, ut ejus artificium nulli mortalium vendicetur, sed certis diis. Siquidem Herculis illic oraculum est, et Apollinis, et Minervæ, Dianæque ac Martis, et Jovis, et quod præcipuo honore colunt ex omnibus oraculis, Latonæ est in urbe Buto. Verum hæc vaticinia non eodem modo sunt omnia instituta, sed differenter.

84. Jam vero medicina apud eos hunc in modum est distributa, ut singulorum morborum sint medici, non plurium; itaque omnia referta sunt medicis. Alii enim sunt oculorum, alii capitis, alii dentium, alvi alii, alii morborum occultorum.

πε´. Θρῆνοι δὲ καὶ ταφαὶ σφέων, εἰσὶ αἵδε· τοῖσι ἂν ἀπογένηται ἐκ τῶν οἰκηΐων ἄνθρωπος, τοῦ τις καὶ λόγος ᾖ, τὸ θῆλυ γένος πᾶν τὸ ἐκ τῶν οἰκηΐων τούτων κατ᾽ ὦν ἐπλάσατο τὴν κεφαλὴν πηλῷ ἢ καὶ τὸ πρόσωπον. κἄπειτα ἐν τοῖσι οἰκίοισι λιποῦσαι τὸν νεκρὸν, αὗται ἀνὰ τὴν πόλιν στρεφώμεναι, τύπτονται ἐπεζωσμέναι, καὶ φαίνουσαι τοὺς μαζούς. σὺν δέ σφι αἱ προσήκουσαι πᾶσαι. ἑτέρωθεν δὲ οἱ ἄνδρες τύπτονται, ἐπεζωσμένοι καὶ οὗτοι. ἐπεὰν δὲ ταῦτα ποιήσωσι, οὕτω ἐς τὴν ταρίχευσιν κομίζουσι.

πϛ´. Εἰσὶ δὲ οἳ ἐπ᾽ αὐτῷ τούτῳ κατέαται, καὶ τέχνην ἔχουσι ταύτην. οὗτοι ἐπεάν σφι κομισθῇ νεκρὸς, δεικνύασι τοῖσι κομίσασι παραδείγματα νεκρῶν ξύλινα, τῇ γραφῇ με-

---

85. Luctus eorundem ac sepulturæ tales sunt. Quibuscunque aliquis ex domesticis decessit, cujus, aliquod momentum sit, ibi omnes feminæ illius familiæ caput sibi aut etiam vultum oblinunt luto; deinde relicto domi cadavere, ipsæ per urbem vagantes lamentantur succinctæ et ostendentes mammas, et cum eis propinquæ omnes. Altera ex parte viri, et ipsi succincti se verberant. His actis, ita demum ad condiendum portant.

86. Sunt autem certi ad hoc ipsum constituti, qui hoc artificium factitant: qui, quum ad ipsos cadaver portatum sit, ostendunt iis, qui portaverunt, exemplaria cadaverum lignea, pictura assimilata. Et earum

μιμημένα. καὶ τὴν μὲν σπουδαιοτάτην αὐτέων φασὶ εἶναι, τοῦ οὐκ ὅσιον ποιεῦμαι τὸ οὔνομα ἐπὶ τοιούτῳ πρήγματι ὀνομάζειν· τὴν δὲ δευτέρην δεικνύασι ὑποδεεστέρην τε ταύτης καὶ εὐτελεστέρην· τὴν δὲ τρίτην, εὐτελεστάτην. φράσαντες δὲ, πυνθάνονται παρ' αὐτέων κατὰ ἥν τινα βούλονταί σφι σκευασθῆναι τὸν νεκρόν. οἱ μὲν δὴ ἐκποδὼν μισθῷ ὁμολογήσαντες, ἀπαλλάσσονται· οἱ δὲ ὑπολειπόμενοι ἐν οἰκήμασι, ὧδε τὰ σπουδαιότατα ταριχεύουσι. πρῶτα μὲν σκολιῷ σιδήρῳ διὰ τῶν μυξωτήρων ἐξάγουσι τὸν ἐγκέφαλον, τὰ μὲν αὐτοῦ οὕτω ἐξάγοντες, τὰ δὲ φάρμακα ἐγχέοντες. μετὰ δὲ, λίθῳ Αἰθιοπικῷ ὀξέϊ παρασχίσαντες παρὰ τὴν λαπάρην, ἐξ ὧν εἷλον τὴν κοιλίην πᾶσαν. ἐκκαθήραντες δὲ αὐτὴν, καὶ διηθήσαντες οἴνῳ φοινικηΐῳ, αὖτις διηθέουσι θυμιήμασι τετριμ-

---

unam accuratissimam esse ejus aiunt, cujus nomen nuncupare fas non puto in hac materia: alteram illa inferiorem ostendunt ac vilioris pretii: tertiam, vilissimi. Quibus expositis sciscitantur ab iis, ad quam picturam velint effingi ipsis mortuum. Isti ubi de pretio convenerunt, illinc abeunt. At hi relicti in ædibus, hunc in modum diligentissime condiunt. Ante omnia incurvo ferro cerebrum per nares educunt, partim quidem ita educentes, partim medicamenta infundentes. Dehinc acuto lapide Æthiopico circa ilia conscindunt, atque illac omnem alvum protrahunt: quam ubi expurgarunt, ac vino pal-

μένοισι. ἔπειτα τὴν νηδὺν σμύρνης ἀκηράτου τετριμμένης, καὶ κασίης καὶ τῶν ἄλλων θυωμάτων, πλὴν λιβανωτοῦ, πλήσαντες, συῤῥάπτουσι ὀπίσω. ταῦτα δὲ ποιήσαντες, ταριχεύουσι νίτρῳ, κρύψαντες ἡμέρας ἑβδομήκοντα· πλεῦνας δὲ τουτέων οὐκ ἔξεστι ταριχεύειν. ἐπεὰν δὲ παρέλθωσι αἱ ἑβδομήκοντα, λούσαντες τὸν νεκρὸν, κατειλίσσουσι πᾶν αὐτοῦ τὸ σῶμα σινδόνος βυσσίνης τελαμῶσι κατατετμημένοισι, ὑποχρίοντες τῷ κόμμι, τῷ δὴ ἀντὶ κόλλης ταπολλὰ χρέονται Αἰγύπτιοι. ἐνθεῦτεν δὲ παραδεξάμενοί μιν οἱ προσήκοντες, ποιεῦνται ξύλινον τύπον ἀνθρωποειδέα· ποιησάμενοι δὲ, ἐσεργνῦσι τὸν νεκρόν· καὶ κατακληΐσαντες οὕτω, θησαυρίζουσι ἐν οἰκήματι θηκαίῳ, ἱστάντες ὀρθὸν πρὸς τοῖχον. οὕτω μὲν τοὺς τὰ πολυτελέστατα σκευάζουσι νεκρούς·

---

meo perluerunt, rursus odoribus tritis proluunt: tum alvum complentes trita myrrha pura, et casia, et aliis, excepto thure, odoribus, postea consuunt. Ubi hæc fecere, saliunt nitro abditum septuaginta dies; nam diutius salire non licet. Exactis septuaginta diebus cadaver ubi abluerunt, sindonis byssinæ fasciis incisis universum ejus corpus involvunt, gummi sublinentes, quo Ægyptii glutinis loco plerumque utuntur. Eo deinde recepto, propinqui ligneum hominis effigie typum faciunt, in qua mox inserunt mortuum, inclusumque ita, reponunt in conclavi loculis talibus dicato, statuentes rectum ad parietem. Sic quidem sumptuosissimo modo curant cadavera.

πζ΄. Τοὺς δὲ τὰ μέσα βουλομένους, τὴν δὲ πολυτελητὴν φεύγοντας, σκευάζουσι ὧδε. ἐπεὰν τοὺς κλυστῆρας πλήσωνται τοῦ ἀπὸ τοῦ κέδρου ἀλείφατος γινομένου, ἐν ὧν ἔπλησαν τοῦ νεκροῦ τὴν κοιλίην, οὔτε ἀναταμόντες αὐτὸν, οὔτε ἐξελόντες τὴν νηδύν· κατὰ δὲ τὴν ἕδρην ἐσηθήσαντες, καὶ ἐπιλαβόντες τὸ κλύσμα τῆς ὀπίσω ὁδοῦ, ταριχεύουσι τὰς προκειμένας ἡμέρας· τῇ δὲ τελευταίῃ ἐξιεῖσι ἐκ τῆς κοιλίης τὴν κεδρίην, τὴν ἐσῆκαν πρότερον· ἡ δὲ ἔχει τοσαύτην δύναμιν, ὥστε ἅμα ἑωϋτῇ τὴν νηδὺν καὶ τὰ σπλάγχνα κατατετηκότα ἐξάγει· τὰς δὲ σάρκας τὸ νίτρον κατατήκει· καὶ δὴ λείπεται τοῦ νεκροῦ τὸ δέρμα μοῦνον, καὶ τὰ ὀστέα. ἐπεὰν δὲ ταῦτα ποιήσωσι, ἀπ᾽ ὧν ἔδωκαν οὕτω τὸν νεκρὸν, οὐδὲν ἔτι πρηγματευθέντες.

---

87. Eos autem qui mediocria volunt, nimium fugientes sumptum, ita apparant: post clysteres unguine quod e cedro gignitur completos, mox eodem alvum mortui implerunt, ipsum neque scindentes neque intranea extrahentes, sed per secessum infercientes et impedientes lavationem eadem via relabi, propositis diebus condiunt; quorum dierum ultimo cedrinum unguen, quod prius ingesserant, ex alvo egerunt: quod tantam habet vim, ut una secum alvum atque intestina tabefacta educat. Nitrum autem carnes tabefacit, mortuique tantum cutis et ossa relinquuntur. Ubi ista fecere, sic reddidere mortuum, nihil amplius negocii suscipientes.

πη´. Ἡ δὲ τρίτη ταρίχευσίς ἐστι ἥδε, ἣ τοὺς χρήμασι ἀσθενεστέρους σκευάζει. συρμαίῃ διηθήσαντες τὴν κοιλίην, ταριχεύουσι τὰς ἑβδομήκοντα ἡμέρας, καὶ ἔπειτα ἀπ' ὧν ἔδωκαν ἀποφέρεσθαι.

πθ´. Τὰς δὴ γυναῖκας τῶν ἐπιφανέων ἀνδρῶν, ἐπεὰν τελευτήσωσι, οὐ παραυτίκα διδοῦσι ταριχεύειν, οὐδὲ ὅσαι ἂν ὦσι εὐειδέες κάρτα καὶ λόγου πλεῦνος γυναῖκες· ἀλλ' ἐπεὰν τριταῖαι ἢ τεταρταῖαι γένωνται οὕτω παραδιδοῦσι τοῖσι ταριχεύουσι. τοῦτο δὲ ποιέουσι οὕτω τοῦδε εἵνεκα, ἵνα μή σφι οἱ ταριχευταὶ μίσγωνται τῇσι γυναιξί. λαμφθῆναι γάρ τινά φασι μισγόμενον νεκρῷ προσφάτῳ γυναικός· κατειπεῖν δὲ τὸν ὁμότεχνον.

ϟ´. Ὃς δ' ἂν ἢ αὐτῶν Αἰγυπτίων ἢ ξείνων ὁμοίως ὑπὸ κροκοδείλου ἁρπαχθείς, ἢ ὑπ'

88. Tertia conditura hæc est, qua adornantur mortui, qui tenuiori sunt fortuna. Ablutione ubi ventrem percolaverunt, condiunt septuaginta per dies, deinde sic tradunt reportandum.

89. Uxores tamen insignium virorum, non statim vita defunctas tradunt condiendas, nec quotquot formosæ valde et majoris pretii feminæ fuerunt, sed triduo atque quatriduo post mortem tradunt his unctoribus; ea de caussa facientes ita, ne cum feminis isti coëant. Deprehensum enim quendam aiunt coëuntem cum recenti cadavere muliebri, delatumque ab ejusdem artificii socio.

90. Quisquis autem vel ipsorum Ægyptiorum vel externorum deprehendatur, sive a cro-

αὐτοῦ τοῦ ποταμοῦ φαίνηται τεθνηὼς, κατ' ἣν ἂν πόλιν ἐξενειχθῇ, τούτους πᾶσα ἀνάγκη ἐστὶ ταριχεύσαντας αὐτὸν, καὶ περιστείλαντας ὡς κάλλιστα, θάψαι ἐν ἱρῇσι θήκησι. οὐδὲ ψαῦσαι ἔξεστι αὐτοῦ ἄλλον οὐδένα οὔτε τῶν προσηκόντων, οὔτε τῶν φίλων· ἀλλά μιν οἱ ἱρέες αὐτοὶ οἱ τοῦ Νείλου, ἅτε πλέον τι ἢ ἀνθρώπου νεκρὸν, χειραπτάζοντες θάπτουσι.

ϟα' Ἑλληνικοῖσι δὲ νομαίοισι φεύγουσι χρεέσθαι· τὸ δὲ σύμπαν εἰπεῖν, μηδ' ἄλλων μηδαμᾶ μηδαμῶν ἀνθρώπων νομαίοισι. οἱ μὲν νυν ἄλλοι Αἰγύπτιοι οὕτω τοῦτο φυλάσσουσι· ἔστι δὲ Χέμμις πόλις μεγάλη νομοῦ τοῦ Θηβαϊκοῦ, ἐγγὺς Νέης πόλιος· ἐν ταύτῃ τῇ πόλι ἔστι Περσέος τοῦ Δανάης ἱρὸν τετράγωνον· πέριξ δὲ αὐτοῦ φοίνικες πεφύκασι. τὰ δὲ πρό-

---

codilo raptus, sive ab ipso flumine mortuus, necessarium prorsus est ei civitati, ad quam ejectus est, condire, et quam honestissime comparantes sepelire in sacris loculis; quem ne contingere quidem fas est alteri aut propinquorum aut amicorum, sed eum ipsi Nili sacerdotes, utpote majus quiddam quam hominis cadaver, manibus tractantes sepeliunt.

91. Græcanicis institutis uti recusant, et, ut semel dicam, nullorum hominum aliorum institutis uti volunt. Et hoc quidem ceteri Ægyptii observant. Est autem Chemmis oppidum grande Thebaicæ regionis, prope Neapolin: quo in oppido est templum Persei, Danaæ filii, quadratum ac palmeto circumdatum; ante fores hujus templi sunt e saxis, valde magnæ; in

πυλα τοῦ ἱροῦ, λίθινά ἐστι, κάρτα μεγάλα. ἐπὶ δὲ αὐτοῖσι ἀνδριάντες δύο ἑστᾶσι λίθινοι μεγάλοι. ἐν δὲ τῷ περιβεβλημένῳ τούτῳ νηός τε ἔνι, καὶ ἄγαλμα ἐν αὐτῷ ἐνέστηκε Περσέος. οὗτοι οἱ Χεμμῖται λέγουσι τὸν Περσέα πολλάκι μὲν ἀνὰ τὴν γῆν φαίνεσθαί σφι, πολλάκι δὲ ἔσω τοῦ ἱροῦ· σανδάλιόν τε αὐτοῦ πεφορημένον εὑρίσκεσθαι, ἐὸν τὸ μέγαθος, δίπηχυ. τὸ ἐπεὰν φανῇ, εὐθηνέειν ἅπασαν Αἴγυπτον. ταῦτα μὲν λέγουσι. ποιεῦσι δὲ τάδε Ἑλληνικὰ τῷ Περσέϊ. ἀγῶνα γυμνικὸν τιθεῖσι διὰ πάσης ἀγωνίης ἔχοντα· παρέχοντες ἄεθλα, κτήνεα, καὶ χλαίνας, καὶ δέρματα· εἰρομένου δέ μευ ὅτι σφι μούνοισι ἔωθε ὁ Περσεὺς ἐπιφαίνεσθαι, καὶ ὅτι κεχωρίδαται Αἰγυπτίων τῶν ἄλλων, ἀγῶνα γυμνικὸν τιθέντες, ἔφασαν τὸν Περσέα ἐκ τῆς ἑωϋτῶν πόλιος γε-

---

his stant duæ grandes e lapide statuæ. In hoc ambitu est templum, et in eo simulacrum Persei: quem Chemmitæ memorant sibi apparere frequenter intra templum; ejusque sandalium, quod gestabat, inveniri, bicubitali magnitudine: quod postquam apparuerit, exuberare omnem Ægyptum. Hæc quidem aiunt. Celebrant autem Perseo Græcanica hæc; gymnicos ludos faciunt per omne certandi genus, propositis præmiis tum pecorum, tum palliorum, tum pellium. Percontanti autem mihi, cur eis solis consuevisset apparere Perseus, et cur ab Ægyptiis aliis discreparent edendo gymnico certami-

γονέναι. τὸν γὰρ Δαναὸν καὶ τὸν Λυγκέα, ἐόντας Χεμμίτας, ἐκπλῶσαι ἐς τὴν Ἑλλάδα. ἀπὸ δὲ τούτων γενεηλογέοντες, κατέβαινον ἐς τὸν Περσέα. ἀπικόμενον δὲ αὐτὸν ἐς Αἴγυπτον, κατ' αἰτίην, τὴν καὶ Ἕλληνες λέγουσι, οἴσοντα ἐκ Λιβύης τὴν Γοργοῦς κεφαλὴν, ἔφασαν ἐλθεῖν καὶ παρὰ σφέας, καὶ ἀναγνῶναι τοὺς συγγενέας πάντας· ἐκμεμαθηκότα δέ μιν, ἀπικέσθαι ἐς Αἴγυπτον, τὸ τῆς Χέμμιος οὔνομα πεπυσμένον παρὰ τῆς μητρός· ἀγῶνα δέ οἱ γυμνικὸν αὐτοῦ κελεύσαντος, ἐπιτελέειν.

ϟβ'. Ταῦτα μὲν πάντα οἱ κατύπερθε τῶν ἑλέων οἰκέοντες Αἰγύπτιοι νομίζουσι. οἱ δὲ δὴ ἐν τοῖσι ἕλεσι κατοικημένοι, τοῖσι μὲν αὐτοῖσι νόμοισι χρέονται τοῖσι καὶ οἱ ἄλλοι Αἰγύ-

---

ne, aiebant, Perseum ex ipsorum civitate esse oriundum: Danaum enim et Lynceum, qui essent Chemmitæ, enavigasse in Græciam: a quibus originem posteritatis recensentes deveniebant ad Perseum. Hunc in Ægyptum profectum eam ob caussam, quam et Græci dicunt, laturum ex Africa caput Gorgonis, aiebant venisse quoque ad ipsos, ac cognatos omnes agnovisse; venisse vero edoctum, Chemmis ex matre audito nomine, in Ægyptum; et se ei, quod jussisset, gymnicum certamen celebrare.

92. Hæc omnia Ægyptii qui supra paludes incolunt pro institutis habent. Qui vero in paludibus, utuntur eisdem quidem, quibus ceteri Ægyptii, legibus,

πτιοι· καὶ τἆλλα, καὶ γυναικὶ μιῇ ἕκαστος αὐτέων συνοικέει, κατάπερ Ἕλληνες. ἀτὰρ πρὸς εὐτελείην τῶν σιτίων, τάδέ σφι ἄλλα ἐξεύρηται· ἐπεὰν πλήρης γένηται ὁ ποταμὸς, καὶ τὰ πεδία πελαγίσῃ, φύεται ἐν τῷ ὕδατι κρίνεα πολλὰ, τὰ Αἰγύπτιοι καλέουσι λωτόν. ταῦτ' ἐπεὰν δρέψωσι, αὐαίνουσι πρὸς ἥλιον· καὶ ἔπειτα τὸ ἐκ τοῦ μέσου τοῦ λωτοῦ, τῇ μήκωνι ἐὸν ἐμφερὲς, πτίσαντες, ποιεῦνται ἐξ αὐτοῦ ἄρτους ὀπτοὺς πυρί· ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ λωτοῦ τούτου ἐδωδίμη καὶ ἐγγλύσσει ἐπιεικέως ἐὸν στρογγύλον, μέγαθος κατὰ μῆλον. ἔστι δὲ καὶ ἄλλα κρίνεα ῥόδοισι ἐμφέρεα, ἐν τῷ ποταμῷ γινόμενα καὶ ταῦτα· ἐξ ὧν ὁ καρπὸς ἐν ἄλλῃ κάλυκι παραφυομένῃ ἐκ τῆς ῥίζης γίνεται κηρίῳ σφηκῶν ἰδέην ὁ-

---

et tum alia, tum quod unusquisque ducit unam uxorem, quemadmodum Græci: ceterum ad victus facilitatem alia hæc sunt eis excogitata. Siquidem quum fluvius est plenissimus et campi sunt instar æquoris, in ipsa aqua oritur ingens vis liliorum, quæ loton Ægyptii vocant. Ea ubi demessuerunt, ad solem exsiccant: deinde quod medium loti est, papaveri assimile, postquam pinserunt, ex eo faciunt panes assos igne. Est autem hujus loti radix quoque esculenta, etiam temperate edulcat, orbiculatum, mali magnitudine. Sunt et alia lilia rosis similia, et ipsa in flumine nascentia: quorum fructus in alio folliculo adnascente ex radice, simillimus specie est favo vesparum. In eo

μοιότατον. ἐν τούτῳ τρωκτὰ ὅσον τε πυρὴν ἐλαίης ἐγγίνεται συχνά. τρώγεται δὲ καὶ ἁπαλὰ ταῦτα καὶ αὖα. τὴν δὲ βύβλον τὴν ἐπέτειον γινομένην, ἐπεὰν ἀνασπάσωσι ἐκ τῶν ἑλέων, τὰ μὲν ἄνω αὐτῆς ἀποτάμνοντες, ἐς ἄλλο τι τράπουσι· τὸ δὲ κάτω λελειμμένον ὅσον τε ἐπὶ πῆχυν, τρώγουσι, καὶ πωλέουσι. οἱ δὲ ἂν καὶ κάρτα βούλωνται χρηστῇ τῇ βύβλῳ χρέεσθαι, ἐν κλιβάνῳ διαφανέϊ πνίξαντες, οὕτω τρώγουσι. οἱ δέ τινες αὐτῶν ζῶσι ἀπὸ τῶν ἰχθύων μούνων· τοὺς ἐπεὰν λάβωσι, καὶ ἐξέλωσι τὴν κοιλίην, αὐαίνουσι πρὸς ἥλιον, καὶ ἔπειτα αὔους ἐόντας σιτέονται.

Ϟγ΄. Οἱ δὲ ἰχθύες οἱ ἀγελαῖοι ἐν μὲν τοῖσι ποταμοῖσι οὐ μάλα γίνονται. τρεφόμενοι δὲ ἐν τῇσι λίμνῃσι, τοιάδε ποιεῦσι. ἐπεάν σφε-

---

bellaria instar nuclei olivæ innascuntur densa, quæ et tenera comeduntur et arefacta. Jam vero byblum annuam ubi e paludibus extraxerunt, superiorem ejus partem amputantes in aliud quiddam convertunt; quod relictum est inferius, longitudine cubitali, id edunt, ac venundant: et siqui admodum utili byblo uti cupiunt, in luculento furno torrefactam ita comedunt. Sunt præterea ex eis, qui solis piscibus victitant; quos ubi ceperunt, exenteratos ad solem siccant, siccatisque deinde vescuntur.

93. In fluminibus non fere gignuntur pisces gregales; sed qui nutriuntur in stagnis, hæc faciunt. Simulac incessit eis libido gignendi, gregatim in ma-

ας ἐςίη, οἶςτρος κυΐσκεσθαι, ἀγεληδὸν ἐκπλώουσι ἐς τὴν θάλασσαν· ἡγέονται δὲ οἱ ἔρσενες, ἀποῤῥαίνοντες τοῦ θοροῦ· αἱ δὲ, ἑπόμεναι ἀνακάπτουσι, καὶ ἐξ αὐτοῦ κυΐσκονται· ἐπεὰν δὲ πλήρεες γένωνται ἐν τῇ θαλάσσῃ, ἀναπλώουσι ὀπίσω ἐς ἤθεα τὰ ἑωϋτῶν ἕκαστοι· ἡγέονται μέντοι γε οὐκέτι οἱ αὐτοὶ, ἀλλὰ τῶν θηλέων γίνεται ἡ ἡγεμονίη. ἡγεύμεναι δὲ ἀγεληδὸν, ποιεῦσι οἷόν περ ἐποίευν οἱ ἔρσενες. τῶν γὰρ ᾠῶν ἀποῤῥαίνουσι κατ' ὀλίγους τῶν κέγχρων· οἱ δὲ ἔρσενες καταπίνουσι ἑπόμενοι. εἰσὶ δὲ οἱ κέγχροι οὗτοι, ἰχθύες. ἐκ δὲ τῶν περιγινομένων καὶ μὴ καταπινομένων κέγχρων οἱ τρεφόμενοι, ἰχθύες γίνονται. οἳ δ' ἂν αὐτέων ἁλῶσι ἐκπλώοντες ἐς θάλασσαν, φαίνονται τετριμμένοι τὰ ἐπαριστερὰ τῶν κεφαλέων· οἳ δ' ἂν ὀπίσω ἀναπλώοντες, τὰ ἐπιδέξια τετρίφαται.

---

re enatant, ducibus masculis genituram spargentibus, quam feminæ consectantes absorbent, et ex ea concipiunt. Eædem ubi repletæ in mari sunt, remeant singuli rursus ad loca sibi consueta, non amplius iisdem anteeuntibus, sed feminarum est ducatus. Gregatim autem præeuntes, faciunt quemadmodum fecerant mares, ova fundentes instar milii parva, quæ mares sequentes deglutiunt. Sunt autem ea milii grana, pisces: quum ex granis, quæ manent integra, nec absorbentur, sed ubi sunt nutrita, pisces fiant, Ex his piscibus qui capiuntur, dum in mare exeunt, capitum sinistram partem attriti appa-

πάσχουσι δὲ ταῦτα διὰ τόδε· ἐχόμενοι τῆς γῆς ἐπ' ἀριστερὰ καταπλώουσι ἐς θάλασσαν, καὶ ἀναπλώοντες ὀπίσω, τῆς αὐτῆς ἀντέχονται ἐγχριμπτόμενοι, καὶ ψαύοντες ὡς μάλιστα, ἵνα μὴ ἁμάρτοιεν τῆς ὁδοῦ διὰ τὸν ῥόον. ἐπεὰν δὲ πληθύεσθαι ἄρχηται ὁ Νεῖλος, τά τε κοῖλα τῆς γῆς, καὶ τὰ τέλματα τὰ παρὰ τὸν ποταμὸν, πρῶτα ἄρχεται πίπλασθαι, διηθέοντος τοῦ ὕδατος ἐκ τοῦ ποταμοῦ· καὶ αὐτίκα τε πλέα γίνεται ταῦτα, καὶ παραχρῆμα ἰχθύων σμικρῶν πίπλαται πάντα. κόθεν δὲ εἰκὸς αὐτοὺς γίνεσθαι, ἐγώ μοι δοκέω κατανοεῖν τοῦτο. τοῦ προτέρου ἔτεος ἐπεὰν ἀπολίπῃ ὁ Νεῖλος, οἱ ἰχθύες ἐκτεκόντες ὠὰ ἐς τὴν ἰλὺν, ἅμα τῷ ἐσχάτῳ ὕδατι ἀπαλλάσσονται· ἐπεὰν δὲ περιελθόντος τοῦ χρόνου πάλιν ἐπέλθῃ τὸ ὕδωρ, ἐκ τῶν ὠῶν τούτων πα-

rent: qui autem retro remeantes, dextram habent attritam; idque ea de caussa patiuntur, quod in mare tendunt, a sinistra terram legentes; et rursus revertentes, eandem oram stringunt, incursantes tangentesque validissime, ne itinere aberrent propter aquæ decursum. Nilo incipiente augescere, in primis cava terræ et lacunæ fluvio proximæ impleri incipiunt, percolante aqua ex flumine, et tum hæc statim plena fiunt, tum continuo cuncta pisciculis minutis opplentur. Unde autem verisimile fit eos gigni, hoc mihi videor intelligere; superiore anno postquam Nilus abscessit, pisces, qui ova in cæno pepererant, una cum postrema abeunt aqua: circumacto rursus tempore, ubi aqua

ραυτίκα γίνονται οἱ ἰχθύες. καὶ περὶ μὲν τοὺς ἰχθῦς οὕτω ἔχει.

ϟδ΄. Ἀλείφατι δὲ χρέονται Αἰγυπτίων οἱ περὶ τὰ ἕλεα οἰκέοντες, ἀπὸ τῶν σιλλικυπρίων τοῦ καρποῦ, τὸ καλεῦσι μὲν Αἰγύπτιοι κίκι, ποιεῦσι δὲ ὧδε· παρὰ τὰ χείλεα τῶν τε ποταμῶν καὶ τῶν λιμνέων σπείρουσι τὰ σιλλικύπρια ταῦτα, τὰ ἐν Ἕλλησι αὐτόματα ἄγρια φύεται. ταῦτα ἐν τῇ Αἰγύπτῳ σπειρόμενα, καρπὸν φέρει πολλὸν μὲν, δυσώδεα δέ. τοῦτον ἐπεὰν συλλέξωνται, οἱ μέν, κόψαντες, ἀπιποῦσι, οἱ δὲ καὶ φρύξαντες ἀπέψουσι, καὶ τὸ ἀπορρέον ἀπ᾽ αὐτοῦ συγκομίζονται. ἔστι δὲ πῖον, καὶ οὐδὲν ἧσσον τοῦ ἐλαίου τῷ λύχνῳ προσηνές· ὀδμὴν δὲ βαρέαν παρέχεται.

---

restagnavit, protinus ex his ovis gignuntur pisces. Et circa pisces quidem ita se res habet.

94. Porro Ægyptii qui palustria accolunt, unguento utuntur ex fructu sillicypriorum, quod appellant Ægypti KIKI, hunc in modum conficientes. Sillicypria hæc, quæ apud Græcos ultro agrestia nascuntur, ad labra fluminum stagnorumque Ægyptii serunt, eaque in Ægypto multum quidem fructum ferunt, sed graveolentem. Hunc ubi collegerunt, alii tusum exprimunt, alii frictum coquunt, et quod ex eo defluit excipiunt, pingue quiddam, et non minus ad lucernam idoneum quam oleum, sed graveolentiam exhibens.

Ϟε΄. Πρὸς δὲ τοὺς κώνωπας ἀφθόνους ἐόντας τάδέ σφί ἐστι μεμηχανημένα· τοὺς μὲν τὰ ἄνω τῶν ἑλέων οἰκέοντας οἱ πύργοι ὠφελέουσι, ἐς οὓς ἀναβαίνοντές κοιμέονται· οἱ γὰρ κώνωπες ὑπὸ τῶν ἀνέμων οὐκ οἷοί τε εἰσὶ ὑψοῦ πέτεσθαι. τοῖσι δὲ περὶ τὰ ἕλεα οἰκέουσι τάδε ἀντὶ τῶν πύργων ἄλλα μεμηχάνηται. πᾶς ἀνὴρ αὐτέων ἀμφίβληστρον ἔκτηται, τῷ τῆς ἡμέρης μὲν ἰχθῦς ἀγρεύει, τὴν δὲ νύκτα αὐτῷ χρεέται ἐν τῇ ἀναπαύεται κοίτῃ· περὶ ταύτην ἵστησι τὸ ἀμφίβληστρον· καὶ ἔπειτα ἐνδὺς ὑπ' αὐτῷ, καθεύδει· οἱ δὲ κωνώπες, ἢν μὲν ἐν ἱματίῳ ἐνελιξάμενος εὕδῃ, ἢ σινδόνι, διὰ τούτων δάκνουσι· διὰ δὲ τοῦ δικτύου οὐδὲ πειρῶνται ἀρχήν.

Ϟϛ΄. Τὰ δὲ δὴ πλοῖά σφι τοῖσι φορτηγέουσι, ἔστι ἐκ τῆς ἀκάνθης ποιεύμενα, τῆς ἡ

95. Sunt autem adversus culices, quorum magna vis est, hæc ab eis excogitata. Illos quidem qui supra paludes incolunt, juvant turres, quas dormituri ascendunt; nam culices ventus prohibet in alto volare. At qui circa paludes habitant, alia turrium vice sunt machinati, hæc videlicet: singuli suum habent rete, quo per diem pisces capiunt, eodem noctu utuntur ad cubile, in quo requiescunt. Circundant illud reti: deinde ingressi sub illo somnum capiunt; qui si in veste involuti aut in sindone dormirent, eos per ista culices morderent: per retia vero omnino nec conantur.

96. Naves eorum vectoriæ sunt factæ e spina, cujus figura simillima est loto Cyrenæo et cu-

μορφὴ μέν ἐστι ὁμοιοτάτη τῷ Κυρηναίῳ λωτῷ· τὸ δὲ δάκρυον, κόμμι ἐστί. ἐκ ταύτης ὦν τῆς ἀκάνθης κοψάμενοι ξύλα ὅσον τε διπήχεα, πλινθηδὸν συντιθεῖσι, ναυπηγεύμενοι τρόπον τοιόνδε· περὶ γόμφους πυκνοὺς καὶ μακροὺς περιείρουσι τὰ διπήχεα ξύλα· ἐπεὰν δὲ τρόπῳ τούτῳ ναυπηγήσωνται, ζυγὰ ἐπιπολῆς τείνουσι αὐτῶν· νομεῦσι δὲ οὐδὲν χρέονται· ἔσωθεν δὲ τὰς ἁρμονίας ἐν ὦν ἐπάκτωσαν τῇ βύβλῳ. πηδάλιον δὲ ἓν ποιεῦνται, καὶ τοῦτο διὰ τῆς τρόπιος διαβύνεται· ἱστῷ δὲ ἀκανθίνῳ χρέονται, ἱστίοισι δὲ βυβλίνοισι. ταῦτα τὰ πλοῖα ἀνὰ μὲν τὸν ποταμὸν οὐ δύνανται πλέειν, ἢν μὴ λαμπρὸς ἄνεμος ἐπέχῃ, ἐκ γῆς δὲ παρέλκεται· κατὰ ῥόον δὲ κομίζεται ὧδε. ἔστι ἐκ μυρίκης πεποιημένη θύρη, κατεῤῥαμμένη ῥίπεϊ καλάμων, καὶ λίθος τετρημένος

jus lacryma gummi est. Ex hac igitur spina ligna cædentes fere bicubitalia, more laterum componunt, hoc modo navem fabricantes: ligna hæc bicubitalia circum densos ac longos stipites circumnectunt; ubi hunc in modum compegerunt, desuper transtra in illis tendunt. Costis nequaquam utuntur, sed introrsum compages byblo inferciunt. Gubernaculum unum faciunt, et hoc per carinam trajicitur. Malo etiam spineo, et velis ex byblo utuntur. Hæc navigia quidem flumen subire non possunt, nisi luculentus ingruat ventus, verum e terra prope trahuntur: Cum decursu autem hoc pacto feruntur. est crates ex myrica facta, vimine arundinum consuta, et lapis perforatus

διτάλαντος μάλιστά κῃ σταθμόν· τούτων τὴν μὲν θύρην δεδεμένην κάλῳ ἔμπροσθε τοῦ πλοίου ἀπίει ἐπιφέρεσθαι, τὸν δὲ λίθον ἄλλῳ κάλῳ ὄπισθε. ἡ μὲν δὴ θύρη, τοῦ ῥόου ἐμπίπτοντος, χωρέει ταχέως, καὶ ἕλκει τὴν βᾶριν· (τοῦτο γὰρ δὴ οὔνομά ἐστι τοῖσι πλοίοισι τούτοισι·) ὁ δὲ λίθος ὄπισθεν ἑλκόμενος, καὶ ἐὼν ἐν βυσσῷ, κατιθύνει τὸν πλόον. ἔστι δέ σφι τὰ πλοῖα ταῦτα πλήθεϊ πολλὰ, καὶ ἄγει ἔνια πολλὰς χιλιάδας ταλάντων.

϶ζ′. Επεὰν δ᾽ ἐπέλθῃ ὁ Νεῖλος τὴν χώρην, αἱ πόλις μοῦναι φαίνονται ὑπερέχουσαι, μάλιστά κῃ ἐμφερέες τῇσι ἐν τῷ Αἰγαίῳ πόντῳ νήσοισι. τὰ μὲν γὰρ ἄλλα τῆς Αἰγύπτου, πέλαγος γίνεται· αἱ δὲ πόλις μοῦναι ὑπερέχουσι. πορθμεύονται ὦν, ἐπεὰν τοῦτο γένηται,

---

duorum fere talentorum pondo; ex his cratem fune ligatam, in anteriore parte navis sinit inferri; lapidem vero alio fune ab tergo. Ita crates impetu aquæ incidente, celeriter meat et trahit barim: hoc enim his navigiis est nomen: Lapis autem dum a tergo trahitur, fundo admotus dirigit cursum. Horum navigiorum ingens apud illos est copia, quorum quædam vehunt multa millia talentorum pondo.

97. Quum regionem supergressus est Nilus, solæ urbes apparent extantes, insulis Ægæi maris fere assimiles. Nam cetera Ægypti pelagus sunt: ipsæque urbes solæ extant. Nec jam, quum hoc contingit, per alveos fluminis, sed per medium campi transmittuntur. Ex Nau-

οὐκέτι κατὰ τὰ ῥέεθρα τοῦ ποταμοῦ, ἀλλὰ διὰ μέσου τοῦ πεδίου. ἐς μέν γε Μέμφιν ἐκ Ναυκράτιος ἀναπλώοντι, παρ' αὐτὰς τὰς πυραμίδας γίνεται ὁ πλόος. ἔστι δὲ οὐδ' οὗτος, ἀλλὰ παρὰ τὸ ὀξὺ τοῦ Δέλτα, καὶ παρὰ Κερκάσωρον πόλιν· ἐς δὲ Ναύκρατιν ἀπὸ θαλάσσης καὶ Κανώβου διὰ πεδίου πλέων, ἥξεις κατ' Ἄνθυλλάν τε πόλιν, καὶ τὴν Ἀρχάνδρου καλευμένην.

ϟη΄. Τουτέων δὲ ἡ μὲν Ἄνθυλλα, ἐοῦσα λογίμη πόλις, ἐς ὑποδήματα ἐξαίρετος δίδοται τοῦ αἰεὶ βασιλεύοντος Αἰγύπτου τῇ γυναικί· τοῦτο δὲ γίνεται, ἐξ ὅσου ὑπὸ Πέρσῃσί ἐστι Αἴγυπτος. ἡ δ' ἑτέρη πόλις δοκέει μοι τὸ οὔνομα ἔχειν ἀπὸ τοῦ Δαναοῦ γαμβροῦ Ἀρχάνδρου τοῦ Φθίου, τοῦ Ἀχαιοῦ· καλέεται γὰρ δὴ Ἀρχάνδρου πόλις, εἴη δ' ἂν καὶ ἄλ-

---

crati quidem si ascendas Memphin versus, juxta pyramides ipsas fit navigatio: sed etiam hæc tunc nulla est, verum juxta acumen Delta et urbem Cercasorum. A mari autem et Canobo Naucratin versus per campum navigans ad Anthylam urbem venies, et illam, quæ vocatur Archandri.

98. Harum urbium Anthylla, quæ est insignis, datur peculiaris in calceamenta uxori semper ejus, qui in Ægypto regnat; quod factum est, ex quo Ægyptus fuit ditionis Persarum. Altera videtur mihi nomen habere ab Archandro Danai genero, Phthii filio, Achæi nepote. Archandri enim urbs nominatur.

λός τις Ἄρχανδρος· οὐ μέντοι γε Αἰγύπτιον τὸ οὔνομα.

ϟθ΄. Μέχρι μὲν τούτου, ὄψις τε ἐμὴ, καὶ γνώμη, καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι· τὸ δὲ ἀπὸ τοῦδε, Αἰγυπτίους ἔρχομαι λόγους ἐρέων, κατὰ τὰ ἤκουον, προσέσται δέ αὐτοῖσι τι καὶ τῆς ἐμῆς ὄψιος. Τὸν Μῆνα, τὸν πρῶτον βασιλεύσαντα Αἰγύπτου, οἱ ἱρέες ἔλεγον τοῦτο μὲν ἀπογεφυρῶσαι τὴν Μέμφιν. τὸν γὰρ ποταμὸν πάντα ῥέειν παρὰ τὸ ὄρος τὸ ψάμμινον πρὸς Λιβύης· τὸν δὲ Μῆνα ἄνωθεν, ὅσον τε ἑκατὸν σταδίους ἀπὸ Μέμφιος, τὸν πρὸς μεσαμβρίης ἀγκῶνα προσχώσαντα, τὸ μὲν ἀρχαῖον ῥέεθρον ἀποξηράναι, τὸν δὲ ποταμὸν ὀχετεῦσαι, τὸ μέσον τῶν οὐρέων ῥέειν. ἔτι δὲ καὶ νῦν ὑπὸ Περσέων ὁ ἀγκὼν οὗτος τοῦ Νεί-

---

Sit forsitan et alius quis Archander; nequaquam tamen Ægyptium nomen est.

99. Hactenus quæ vidi, quæ novi, quæ interrogando percepi dicta sunt: hinc pergam disserere sermones Ægyptios, quos audivi, addens et aliquid quod ipse viderim. Menem, qui primus apud Ægyptum regnavit, aiebant sacerdotes pontibus separavisse quoque Memphin; nam fluvium totum præterlabi montem sabulosum Africam versus; hunc ergo regem supra Memphin centum circiter inde stadia anfractum fluminis meridiem versus aggesta humo arefecisse quidem pristinum alveum; sed flumen facto alveo duxisse, ut per medium montium flueret. Adeo nunc quoque sub

λου ὅς ἀπεργμένος ῥέει, ἐν φυλακῇσι μεγάλῃσι ἔχεται, φρασσόμενος ἀνὰ πᾶν ἔτος. εἰ γὰρ ἐθελήσει ῥήξας ὑπερβῆναι ὁ ποταμὸς ταύτῃ, κίνδυνος πάσῃ Μέμφι κατακλυσθῆναί ἐστι. ὡς δὲ τῷ Μῆνι τούτῳ τῷ πρώτῳ γενομένῳ βασιλέϊ χέρσον γεγονέναι τὸ ἀπεργμένον, τοῦτο μὲν, ἐν αὐτῷ πόλιν κτίσαι ταύτην, ἥτις νῦν Μέμφις καλέεται· ἔστι γὰρ καὶ ἡ Μέμφις ἐν τῷ στεινῷ τῆς Αἰγύπτου· ἔξωθεν δὲ αὐτῆς περιορύξαι λίμνην ἐκ τοῦ ποταμοῦ πρὸς βορέην τε καὶ πρὸς ἑσπέρην· τὸ γὰρ πρὸς τὴν ἠῶ αὐτὸς ὁ Νεῖλος ἀπέργει. τοῦτο δὲ, τοῦ Ἡφαίστου τὸ ἱρὸν ἱδρύσασθαι ἐν αὐτῇ, ἐὸν μέγα τε καὶ ἀξιαπηγητότατον.

ρ΄. Μετὰ δὲ τοῦτον, κατέλεγον οἱ ἱρέες ἐκ βύβλου ἄλλων βασιλήων τριηκοσίων τε καὶ

Persis iste anfractus Nili, qui coërcitus fluit, magnis præsidiis custoditur, quotannis obseptus. Quod si refringens flumen velit ea parte redundare, omnis Memphis adibit periculum ne aquis operiatur. Ab hoc Mene, qui primus extitit rex, quum id, unde abactus erat fluvius, facta esset continens, partim eidem urbem hanc condidisse, quæ nunc Memphis appellatur; est enim quoque Memphis in angustiis Ægypti sita; et extra eam aquilonem versus et vesperum ex flumine circumfodisse stagnum; nam ab aurora ipse Nilus abigit; partim in ea urbe exstruxisse templum Vulcani magnum et memoratu dignissimum.

100. Post hunc recensebant e libro sacerdotes nominatim alios

τριήκοντα οὐνόματα. ἐν τοσαύτῃσι δὲ γενεῇσι ἀνθρώπων, ὀκτωκαίδεκα μὲν Αἰθίοπες ἦσαν, μίη δὲ γυνὴ ἐπιχωρίη· οἱ δὲ ἄλλοι, ἄνδρες Αἰγύπτιοι. τῇ δὲ γυναικὶ οὔνομα ἦν, ἥτις ἐβασίλευσε, τόπερ τῇ Βαβυλωνίῃ, Νίτωκρις. τὴν ἔλεγον τιμωρέουσαν ἀδελφεῷ, τὸν Αἰγύπτιοι βασιλεύοντα σφέων ἀπέκτειναν· ἀποκτείναντες δὲ, οὕτω ἐκείνῃ ἀπέδοσαν τὴν βασιληΐην· τούτῳ τιμωρέουσαν, πολλοὺς Αἰγυπτίων διαφθεῖραι δόλῳ. ποιησαμένην γάρ μιν οἴκημα περίμηκες ὑπόγαιον, καινοῦν τῷ λόγῳ, νόῳ δὲ ἄλλα μηχανᾶσθαι. καλέσασαν δέ μιν Αἰγυπτίων τοὺς μάλιστα μεταιτίους τοῦ φόνου ᾔδεε πολλοὺς ἑστιᾷν· δαινυμένοισι δὲ ἐπεῖναι τὸν ποταμὸν δι' αὐλῶνος κρυπτοῦ μεγάλου. ταύτης μὲν πέρι τοσαῦτα ἔλεγον· πλὴν ὅτι

---

trecentos ac triginta reges. In quibus tot ætatibus hominum, octo et decem fuissent Æthiopes, et una mulier indigena: ceteri, viri Ægyptii. Mulieri quæ regnavit, fuit nomen idem quod Babyloniæ NITOCRIS. Quam dicebant ultam fuisse fratrem, ab Ægyptiis, apud quos regnabat, interemptum: quum eo interempto, regnum ad hanc detulissent; ultam autem fratrem, multis Ægyptiorum dolo absumptis. Nam exstruxisse eam perlongum ædificium subterraneum, per caussam quidem novi operis, animo autem aliud agitantem: et convocatis ad convivium multis, quos præcipue noverat fraternæ cædes autores, per occultum magnum canalem immisisse flumen discumbenti-

αὐτήν μιν, ὡς τοῦτο ἐξέργαστο, ῥίψαι ἐς οἴκημα σποδοῦ πλέον, ὅκως ἀτιμώρητος γένηται.

ρα΄. Τῶν δὲ ἄλλων βασιλέων, οὐ γὰρ ἔλεγον οὐδεμίην ἔργων ἀπόδεξιν, κατ᾽ οὐδὲν εἶναι λαμπρότητος, πλὴν ἑνὸς τοῦ ἐσχάτου αὐτῶν Μοίριος. τοῦτον δὲ ἀποδέξασθαι μνημόσυνα, τοῦ Ἡφαίστου τὰ πρὸς βορῆν ἄνεμον τετραμμένα προπύλαια, λίμνην τε ὀρύξαι, τῆς ἡ περίοδος ὅσων ἐστὶ σταδίων ὕστερον δηλώσω· πυραμίδας τε ἐν αὐτῇ οἰκοδομῆσαι, τῶν τοῦ μεγάθεος πέρι, ὁμοῦ αὐτῇ τῇ λίμνῃ ἐπιμνήσομαι. τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι· τῶν δὲ οὐδένα ἄλλων οὐδέν.

ρϐ΄. Παραμειψάμενος ὦν τούτους, τοῦ ἐπὶ τούτοισι γενομένου βασιλέος, τῷ οὔνομα

---

bus. Hæc quidem de illa referebant, atque insuper quum id fecisset eam jecisse se in conclave cineris plenum, quo impunita esset.

101. Aliorum autem regum, non enim referebant aliquam operum spectationem, nullum esse splendorem, nisi unius, qui postremus horum extitit MOERIS. Hunc enim monumenta exstruxisse Vulcani antefores, ad ventum aquilonem vergentes, et stagnum fodisse, cujus ambitus quot sit studiorum, posterius aperiam; et pyramides in eo erexisse, de quarum magnitudine simul cum ipso lacu mentionem faciam. Hunc itaque tantum operum edidisse: alios autem nihil prorsus.

102. Istos ergo prætergressus, ejus, qui his successit, regis nomine SESOSTRIS mentionem

ἔην Σέσωστρις, τούτου μνήμην ποιήσομαι. τὸν ἔλεγον οἱ ἱρέες πρῶτον μὲν πλοιοῖσι μακροῖσι ὁρμηθέντα ἐκ τοῦ Ἀραβίου κόλπου, τοὺς παρὰ τὴν Ἐρυθρὴν θάλασσαν κατοικημένους καταστρέφεσθαι. ἐς ὃ πλέοντά μιν πρόσω, ἀπικέσθαι ἐς θάλασσαν, οὐκέτι πλωτὴν ὑπὸ βραχέων. ἐνθεῦτεν δὲ, ὡς ὀπίσω ἀπίκετο ἐς Αἴγυπτον, κατὰ τῶν ἱρέων τὴν φάτιν, στρατιὴν πολλὴν λαβὼν ἤλαυνε διὰ τῆς ἠπείρου, πᾶν ἔθνος τὸ ἐμποδὼν καταστρεφόμενος. ὁτέοισι μέν νυν αὐτέων ἀλκίμοισι ἐνετύγχανε, καὶ δεινῶς γλιχομένοισι περὶ τῆς ἐλευθερίης, τούτοισι μὲν στήλας ἐνίστη ἐς τὰς χώρας, διὰ γραμμάτων λεγούσας τό, τε ἑωϋτοῦ οὔνομα, καὶ τῆς πάτρης, καὶ ὡς δυνάμι τῇ ἑωϋτοῦ κατεστρέψατό σφέας· ὁτέων δὲ ἀμαχητὶ

---

habebo. Istum dicebant sacerdotes, primum quidem longis navibus ex Arabico sinu profectum, rubri maris accolas in suam potestatem redegisse: usque dum progrediens longius, venit in mare non jam navigabile vadis. Illinc ubi retro se in Ægyptum recepisset, secundum sacerdotum commemorationem, coacto ingenti exercitu per continentem perrexisse; omnesque gentes, quæ occurrerent subegisse. Et quascunque earum nanciscebatur fortes et vehementer studiosas libertatis, in earum regionibus cippos statuebat, indicantes per litteras suum nomen et patriam, et quemadmodum ipse illas suis viribus subegisset: quarum vero urbes nullo prœlio et facile cepisset,

καὶ εὐπετέως παρέλαβε τὰς πόλις, τούτοισι δὲ ἐνέγραφε ἐν τῇσι στήλῃσι κατὰ ταυτὰ καὶ τοῖσι ἀνδρηΐοισι τῶν ἐθνέων γενομένοισι· καὶ δὴ καὶ αἰδοῖα γυναικὸς προσενέγραφε, δῆλα βουλόμενος ποιέειν ὡς εἴησαν ἀνάλκιδες.

ργ΄. Ταῦτα δὴ ποιέων, διεξήϊε τὴν ἤπειρον. ἐς ὃ ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην διαβὰς, τούς τε Σκύθας κατεστρέψατο καὶ τοὺς Θρήϊκας. ἐς τούτους δέ μοι δοκέει καὶ οὐ προσώτατα ἀπικέσθαι ὁ Αἰγύπτιος στρατός. ἐν μὲν γὰρ τῇ τούτων χώρῃ φαίνονται σταθεῖσαι αἱ στῆλαι· τὸ δὲ προσωτέρω τούτων, οὐκέτι. ἐνθεῦτεν δὲ ἐπιστρέψας ὀπίσω ἤϊε· καὶ ἐπεί τε ἐγένετο ἐπὶ Φάσι ποταμῷ, οὐκ ἔχω τὸ ἐνθεῦτεν ἀτρεκέως εἰπεῖν εἴτε αὐτὸς ὁ βασιλεὺς Σέσωστρις ἀποδασάμενος τῆς ἑωϋτοῦ στρατιῆς μόριον ὅσονδὴ, αὐτοῦ κατέλιπε

harum cippis inscripsit eadem, quæ scripserat eis gentibus, quæ viriles extiterant; atque etiam adscripsit muliebria genitalia, planum facere volens, illas imbelles extitisse.

103. Hæc faciendo peragrabat continentem, donec ex Asia in Europam transgressus, Scythas subegit et Thraces; ad quos usque et non ulterius mihi videtur Ægyptius exercitus pervenisse, quoniam in istorum terra tituli positi apparent, non ultra. Hinc digressus retro abiit, et posteaquam ad Phasin flumen subsedit, quid inde contigerit, non habeo liquide dicere, utrum ipse rex Sesostris, diviso suo exercitu, partem qualemcunque reliquerit ad eam regionem incolendam, an aliqui militum

τῆς χώρης οἰκήτορας· εἴτε τῶν τινες στρατιωτέων τῇ πλάνῃ αὐτοῦ ἀχθεσθέντες, περὶ Φᾶσιν ποταμὸν κατέμειναν.

ρδ΄. Φαίνονται μὲν γὰρ ἐόντες οἱ Κόλχοι Αἰγύπτιοι· νοήσας δὲ πρότερον αὐτὸς, ἢ ἀκούσας ἄλλων, λέγω. ὡς δέ μοι ἐν φροντίδι ἐγένετο, εἰρόμην ἀμφοτέρους· καὶ μᾶλλον οἱ Κόλχοι ἐμεμνέατο τῶν Αἰγυπτίων, ἢ οἱ Αἰγύπτιοι τῶν Κόλχων. νομίζειν δ' ἔφασαν Αἰγύπτιοι τῆς Σεσώστριος στρατιῆς εἶναι τοὺς Κόλχους· αὐτὸς δὲ εἴκασα τῆδε, καὶ ὅτι μελάγχροές εἰσι καὶ οὐλότριχες· καὶ τοῦτο μὲν ἐς οὐδὲν ἀνήκει· εἰσὶ γὰρ καὶ ἕτεροι τοιοῦτοι. ἀλλὰ τοῖσι δὴ καὶ μᾶλλον, ὅτι μοῦνοι πάντων ἀνθρώπων Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτάμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα.

---

pertæsi peregrinationis errorem circa fluvium Phasin substiterint.

104. Nam Colchi videntur Ægyptii esse: quod ipse prius cogitatum quam ex aliis auditum refero. Cujus rei quum mihi cura incessisset ut utrosque percontarer, magis Colchi reminiscebantur Ægyptiorum, quam Ægyptii Colchorum. Dicebant autem Ægyptii se opinari Colchos e Sesostris esse exercitu. Ipse autem ex hoc conjectabam, quod atro colore sunt et crispo capillo, tametsi hoc pro nihilo putari posset, quum et alii sint hujuscemodi, sed magis etiam inde, quod soli omnium hominum Colchi et Ægyptii et Æthiopes ab initio pudenda circumcidunt. Nam et

Φοίνικες δὲ καὶ Σύροι οἱ ἐν τῇ Παλαιστίνῃ, καὶ αὐτοὶ ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι· Σύριοι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρθένιον ποταμὸν, καὶ Μάκρωνες οἱ τούτοισι ἀστυγείτονες ἐόντες, ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι· οὗτοι γάρ εἰσι οἱ περιταμνόμενοι ἀνθρώπων μοῦνοι· καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιεῦντες κατὰ ταυτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν ὁκότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον· ἀρχαῖον γὰρ δή τι φαίνεται ἐόν. ὡς δ' ἐπιμισγόμενοι Αἰγύπτῳ ἐξέμαθον, μέγα μοι καὶ τόδε τεκμήριον γίνεται. Φοινίκων ὁκόσοι τῇ Ἑλλάδι ἐπιμίσγονται, οὐκέτι Αἰγυπτίους μιμέονται κατὰ τὰ αἰδοῖα, ἀλλὰ τῶν ἐπιγινομένων οὐ περιτάμνουσι τὰ αἰδοῖα.

Phœnices et Syri, qui sunt in Palæstina, didicisse ab Ægyptiis et ipsi confitentur. Syrii vero qui fluvium Thermodontem et Parthenium accolunt, et horum contermini Macrones, a Colchis se nuper didicisse aiunt. Hi enim ex hominibus soli sunt qui circumciduntur: et apparet eos hoc facere more eodem Ægyptiis. Ipsi vero Ægyptii atque Æthiopes, non queo dicere utri ab utris didicerint; nam videtur esse aliquid antiquum. Sed quod ex Ægypto, qui illic commercium haberent, didicerint, magnum mihi conjectanti robur est, quod Phœnices quotquot cum Græcis commercium habent, non amplius circa virilia imitantur Ægyptios, sed eorum qui nascuntur, virilia non circumcidunt.

ρε΄. Φέρε νυν καὶ ἄλλο εἴπω περὶ τῶν Κόλχων, ὡς Αἰγυπτίοισι προσφερέες εἰσί. λῖνον μοῦνοι οὗτοί τε καὶ Αἰγύπτιοι ἐργάζονται κατὰ ταυτά. καὶ ἡ ζόη πᾶσα καὶ ἡ γλῶσσα ἐμφερής ἐστι ἀλλήλοισι. λῖνον δὲ τὸ μὲν Κολχικὸν, ὑπὸ Ἑλλήνων Σαρδονικὸν κέκληται· τὸ μέντοι ἀπ' Αἰγύπτου ἀπικνεύμενον, καλέεται Αἰγύπτιον.

ρς΄. Τὰς δὲ στήλας, τὰς ἵστα κατὰ τὰς χώρας ὁ Αἰγύπτου βασιλεὺς Σέσωστρις, αἱ μὲν πλεῦνες οὐκέτι φαίνονται περιεοῦσαι· ἐν δὲ τῇ Παλαιστίνῃ Συρίῃ αὐτὸς ὥρεον ἐούσας, καὶ τὰ γράμματα τὰ εἰρημένα ἐνεόντα, καὶ γυναικὸς αἰδοῖα. εἰσὶ δὲ καὶ περὶ Ἰωνίην δύο τύποι ἐν πέτρῃσι ἐγκεκολαμμένοι τούτου τοῦ ἀνδρὸς, τῇ τε ἐκ τῆς Ἐφεσίης ἐς Φώκαιαν

---

105. Agedum et aliud de Colchis dicam, quemadmodum sint similes Ægyptiorum. Hi soli atque Ægyptii linum, et quidem eadem ratione elaborant: omnisque utrorumque vita et lingua similis est. Linum autem Colchicum a Græcis Sardonicum appellatum est, quum illud, quod ab Ægypto venit, appelletur Ægyptium.

106. Cipporum quos Sesostris rex Ægypti per regiones erexit, plerosque jam patet non superesse; quosdam vero in Syria Palæstina ipse vidi superstites, et inscriptos, tum quibus dixi litteris, tum mulieris genitalibus. Circa Ioniam quoque duæ hujus viri figuræ visuntur in petris incisæ: una quidem qua ex Ephesio agro Phocæam itur, altera

ἔρχονται, καὶ τῇ ἐκ Σαρδίων ἐς Σμύρνην. ἑκατέρωθι δὲ ἀνὴρ ἐγγέγλυπται, μέγαθος πέμπτης σπιθαμῆς, τῇ μὲν δεξιῇ χερὶ ἔχων αἰχμὴν, τῇ δὲ ἀριστερῇ τόξα, καὶ τὴν ἄλλην σκευὴν ὡσαύτως· καὶ γὰρ Αἰγυπτίην καὶ Αἰθιοπίδα ἔχει. ἐκ δὲ τοῦ ὤμου ἐς τὸν ἕτερον ὦμον διὰ τῶν στηθεων γράμματα ἱρὰ Αἰγύπτια διήκει ἐγκεκολαμμένα, λέγοντα τάδε, ΕΓΩ ΤΗΝΔΕ ΤΗΝ ΧΩΡΗΝ ΩΜΟΙΣΙ ΤΟΙΣΙ ΕΜΟΙΣΙ ΕΚΤΗΣΑΜΗΝ. ὅστις δὲ καὶ ὁκόθεν ἐστι, ἐνθαῦτα μὲν οὐ δηλοῖ, ἑτέρωθι δὲ δεδήλωκε. τὰ δὴ καὶ μετεξέτεροι τῶν θεησαμένων, Μέμνονος εἰκόνα εἰκάζουσί μιν εἶναι, πολὺ τῆς ἀληθηΐης ἀπολελειμμένοι.

ρζ΄. Τοῦτων δὴ τὸν Αἰγύπτιον Σέσωστριν ἀναχωρέοντα, καὶ ἀνάγοντα πολέας ἀνθρώ-

---

vero, qua e Sardibus Smyrnam versus. In utraque insculptus est vir magnitudine quinûm palmorum, dextra spiculum tenens, sinistra arcus, ceteramque item armaturam et Ægyptiam et Æthiopicam gestans: et ex humero ad alterum humerum pertinent per pectora sacræ literæ Ægyptiæ insculptæ, hæc indicantes: HANC EGO REGIONEM MEIS OBTINUI HUMERIS. Quis tamen aut cujas fuerit, hic quidem non indicat, sed indicavit alibi. Ea quidam conspicati, Memnonis imaginem esse conjectant, multum a veritate relicti.

107. Hunc igitur Sesostrin Ægyptium sacerdotes dicebant,

πους τῶν ἐθνέων τῶν τὰς χώρας κατεστρέψατο, ἔλεγον οἱ ἱρέες, ἐπεί τε ἐγένετο ἀνακομιζόμενος ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι, τὸν ἀδελφεὸν ἑωϋτοῦ, τῷ ἐπέτρεψε Σέσωστρις τὴν Αἴγυπτον, τοῦτον ἐπὶ ξείνια αὐτὸν καλέσαντα, καὶ πρὸς αὐτῷ τοὺς παῖδας, περινῆσαι ἔξωθεν τὴν οἰκίην ὕλῃ· περινήσαντα δὲ, ὑποπρῆσαι. τὸν δὲ ὡς μαθεῖν τοῦτο, αὐτίκα συμβουλεύεσθαι τῇ γυναικί· καὶ γὰρ δὴ καὶ τὴν γυναῖκα αὐτὸν ἅμα ἄγεσθαι. τὴν δέ οἱ συμβουλεῦσαι, τῶν παίδων ἐόντων ἓξ, τοὺς δύο ἐπὶ τὴν πυρὴν ἐκτείναντα, γεφυρῶσαι τὸ καιόμενον, αὐτοὺς δ' ἐπ' ἐκείνων ἐπιβαίνοντας ἐκσώζεσθαι. ταῦτα ποιῆσαι τὸν Σέσωστριν· καὶ δύο μὲν τῶν παίδων κατακαῆναι τρόπῳ τοιούτῳ· τοὺς δὲ λοιποὺς ἀποσωθῆναι ἅμα τῷ πατρί.

---

redeuntem, multosque mortales earum gentium, quarum regiones subegerat, adducentem, eundem posteaquam ad Daphnas Pelusias revertens venerat, fuisse a fratre suo, quem Ægypto Sesostris præfecerat, ad hospitalia officia invitatum una cum liberis; et quum ille domum exterius materia circumstipasset, struemque incendisset, re hunc intellecta extemplo cum uxore deliberasse, nam et uxorem simul duxerat, et ea suadente, ut duos e sex liberis super pyram extendens, pontem imponeret parti ardenti, super quos ipsi transeuntes evaderent, ita fecisse: et duobus filiis ita combustis, ceteros una cum patre fuisse servatos.

ρή. Νοστήσας δὲ ὁ Σέσωστρις ἐς τὴν Αἴγυπτον, καὶ τισάμενος τὸν ἀδελφεὸν, τῷ μὲν ὁμίλῳ τὸν ἐπηγάγετο, τῶν τὰς χώρας κατεστρέψατο, τούτῳ μὲν τάδε ἐχρήσατο. τούς τε οἱ λίθους τοὺς ἐπὶ τούτου τοῦ βασιλέος κομισθέντας ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν, ἐόντας μεγάθεϊ περιμήκεας, οὗτοι ἦσαν οἱ ἑλκύσαντες· καὶ τὰς διωρυχας τὰς νῦν ἐούσας ἐν Αἰγύπτῳ, πάσας οὗτοι ἀναγκαζόμενοι ὤρυσσον. ἐποίευν τε οὐκ ἑκόντες Αἴγυπτον, τοπρὶν ἐοῦσαν ἱππασίμην καὶ ἁμαξευομένην πᾶσαν, ἐνδεᾶ τούτων. ἀπὸ γὰρ τούτου τοῦ χρόνου Αἴγυπτος, ἐοῦσα πεδιὰς πᾶσα, ἄνιππος καὶ ἀναμάξευτος γέγονε. αἴτιαι δὲ τούτων αἱ διώρυχες γεγόνασι, ἐοῦσαι πολλαὶ, καὶ παντοίους τρόπους ἔχουσαι. κατέταμνε δὲ τοῦδε εἵνεκα τὴν χώρην ὁ βασιλεύς· ὅσοι τῶν

108. Sesostrin in Ægyptum reversum, ultionem de fratre sumpsisse: quam vero multitudinem e terris in potestatem redactis abduxerat, ea usùm in hæc fuisse. Nempe isti fuerunt, qui sub hoc rege immensæ longitudinis lapides in templum Vulcani portatos traxerunt, quique divortia aquarum, quæ nunc in Ægypto sunt, cuncta fodiebant necessitate adacti, faciebantque non volentes, ut Ægyptum, totam prius equis et plaustris agendis ubique idoneam, redderent his carentem. Nam ab eo tempore Ægyptus, quæ omnis campestris est, inequitabilis et plaustris inhabilis extitit, propter multiplices fossas et omnigenis modis ductas. Sic autem terram rex scindendam

I 2

Αἰγυπτίων μὴ ἐπὶ τῷ ποταμῷ ἔκτηντο τὰς πόλις, ἀλλ' ἀναμέσους, οὗτοι ὅκως τε ἀπίοι ὁ ποταμὸς σπανίζοντες ὑδάτων, πλατυτέροισι ἐχρέοντο τοῖσι πόμασι ἐκ φρεάτων χρεόμενοι.

ρθ'. Τούτων μὲν δὴ εἵνεκα κατετμήθη ἡ Αἴγυπτος· κατανεῖμαι δὲ τὴν χώρην Αἰγυπτίοισι ἅπασι τοῦτον ἔλεγον τὸν βασιλέα, κλῆρον ἴσον ἑκάστῳ τετράγωνον διδόντα· καὶ ἀπὸ τούτου τὰς προσόδους ποιήσασθαι, ἐπιτάξαντα ἀποφορὴν ἀποτελέειν κατ' ἐνιαυτόν. εἰ δέ τινος τοῦ κλήρου ὁ ποταμός τι παρέλοιτο, ἐλθὼν ἂν πρὸς αὐτὸν, ἐσήμαινε τὸ γεγενημένον· ὁ δὲ, ἔπεμπε τοὺς ἐπισκεψομένους, καὶ ἀναμετρήσοντας ὅσῳ ἐλάσσων ὁ χῶρος γέγονε, ὅκως τοῦ λοιποῦ κατὰ λόγον τῆς τεταγμένης ἀποφορῆς τελέοι. δοκέει δέ μοι ἐνθεῦτεν γεωμετρίη εὑρε-

putavit, quia civitates, quæ non accolerent flumen, sed in medio Ægypti essent, refluente flumine laborantes penuria aquarum densioribus utebantur potionibus e puteis.

109. Propter hæc Ægyptus incisa est; et ab hoc rege, ut dicebant, regio in omnes Ægyptios dispartita, soli quadrati æqua portione viritim per sortem data; atque hinc proventus instituti, imposita pensione, quam illi quotannis solverent. Quod si cujus portionem alluvione flumen decurtasset, is adiens regem, rei quæ contigerat certiorem faciebat; rexque ad prædium inspiciendum mittebat, qui metirentur quanto minus factum esset, ut ex residuo pro portione taxatum vectigal pen-

θεῖσα, ἐς τὴν Ἑλλάδα ἐπανελθεῖν. πόλον μὲν γὰρ, καὶ γνώμονα, καὶ τὰ δυώδεκα μέρεα τῆς ἡμέρης παρὰ Βαβυλωνίων ἔμαθον οἱ Ἕλληνες.

ρί. Βασιλεὺς μὲν δὴ οὗτος μοῦνος Αἰγύπτιος Αἰθιοπίης ἦρξε. μνημόσυνα δὲ ἐλίπετο πρὸ τοῦ Ἡφαιστείου ἀνδριάντας λιθίνους· δύο μὲν, τριήκοντα πήχεων, ἑωϋτόν τε καὶ τὴν γυναῖκα· τοὺς δὲ παῖδας ἐόντας τέσσερας, εἴκοσι πήχεων ἕκαστον. τῶν δε δὴ ὁ ἱρεὺς τοῦ Ἡφαίστου χρόνῳ μετέπειτα πολλῷ Δαρεῖον τὸν Πέρσην οὐ περιεῖδε ἱστάντα ἔμπροσθεν ἀνδριάντα, φὰς οὔ οἱ πεποιῆσθαι ἔργα οἷάπερ Σεσώστρι τῷ Αἰγυπτίῳ. Σέσωστριν μὲν γὰρ ἄλλα τε καταστρέψασθαι ἔθνεα οὐκ ἐλάσσω ἐκείνου, καὶ δὴ καὶ Σκύθας· Δαρεῖον δὲ οὐ

---

deretur: atque hinc geometria orta mihi videtur in Græciam transcendisse. Nam polum et gnomonem, et duodecim diei partes a Babyloniis Græci didicerunt.

110. Solus hic Ægyptius rex imperio potitus est Æthiopiæ: monumentum quoque reliquit ante ædem Vulcani, lapideas statuas, duas quidem tricenum, se et uxorem; quatuor autem filios, vicenum singulas cubitorum. His statuis longo post tempore quum Darii Persæ statua anteponeretur, non tulit id sacerdos Vulcani, negans eum tales res gessisse, quales gessisset Sesostris Ægyptius: quippe qui cum alias nationes non pauciores quam Darius, tum vero Scythas subegisset: Darium au-

δυνασθῆναι Σκύθας ἑλεῖν. οὔκων δίκαιον εἶναι ἱστάναι ἔμπροσθεν τῶν ἐκείνου ἀναθημάτων, μὴ οὐκ ὑπερβαλλόμενον τοῖσι ἔργοισι. Δαρεῖον μέν νυν λέγουσι πρὸς ταῦτα συγγνώμην ποιήσασθαι.

ρια΄. Σεσώστριος δὲ τελευτήσαντος, ἐκδέξασθαι ἔλεγον τὴν βασιληΐην τὸν παῖδα αὐτοῦ Φερῶν· τὸν ἀποδέξασθαι μὲν οὐδεμίην στρατηΐην, συνενειχθῆναι δέ οἱ τυφλὸν γενέσθαι, διὰ τοιόνδε πρῆγμα. τοῦ ποταμοῦ κατελθόντος μέγιστα δὴ τότε ἐπ' ὀκτωκαίδεκα πήχεας, ὡς ὑπερέβαλε τὰς ἀρούρας, πνεύματος ἐμπεσόντος, κυματίης ὁ ποταμὸς ἐγένετο· τὸν δὲ βασιλέα λέγουσι τοῦτον ἀτασθαλίῃ χρησάμενον, λαβόντα αἰχμὴν, βαλέειν ἐς μέσας τὰς δίνας τοῦ ποταμοῦ· μετὰ δὲ, αὐτίκα κα-

---

tem Scythas vincere non potuisse, eoque iniquum esse, eum, qui rebus gestis non supergrederetur, sisti ante illius donaria. Hæc loquuto sacerdoti tamen ignovisse Darium ferunt.

111. Defuncto Sesostre, reggum suscepisse PHERON ejus filium aiebant, et hunc quidem nullam sumpsisse expeditionem, sed ei contigisse, ut luminibus caperetur; idque hac de causa. Quum flumen eo tempore copiosissimum descenderet ad octo et decem cubita, ita ut rura transcenderet, vento ingruente, magnos fluctus ciere fluvius incepit. Ferunt hunc regem facinus admisisse, quod sumptum spiculum in medios fluminis vortices contorserit: statimque post laborasse ex oculis, ac

μόντα αὐτὸν τοὺς ὀφθαλμοὺς, τυφλωθῆναι· δέκα μὲν δὴ ἔτεα εἶναί μιν τυφλόν. ἑνδεκάτῳ δὲ ἔτεϊ απικέσθαι οἱ μαντήϊον ἐκ Βουτοῦς πόλιος, ὡς ἐξήκει τέ οἱ ὁ χρόνος τῆς ζημίης, καὶ ἀναβλέψει, γυναικὸς οὔρῳ νιψάμενος τοὺς ὀφθαλμοὺς, ἥτις παρὰ τὸν ἑωϋτῆς ἄνδρα μοῦνον πεφοίτηκε, ἄλλων ἀνδρῶν ἐοῦσα ἄπειρος. καὶ τὸν πρώτης τῆς ἑωϋτοῦ γυναικὸς πειρᾶσθαι· μετὰ δὲ, ὡς οὐκ ἀνέβλεπε, ἐπεξῆς πασέων πειρᾶσθαι· ἀναβλέψαντα δὲ, συναγαγεῖν τὰς γυναῖκας τῶν ἐπειρήθη, πλὴν ἢ τῆς τῷ οὔρῳ νιψάμενος ἀνέβλεψε, ἐς μίην πόλιν, ἣ νῦν καλέεται Ἐρυθρὴ βῶλος· ἐς ταύτην συναλίσαντα, ὑποπρῆσαι πάσας σὺν αὐτῇ τῇ πόλι. τῆς δὲ νιψάμενος τῷ οὔρῳ ἀνέβλεψε, ταύτην δὲ εἶχε αὐτὸς γυναῖκα. ἀναθήματα

---

visum amisisse, decennioque cæcum fuisse. Undecimo autem anno ex urbe Buto ei oraculum advenisse, jam exactum esse illi tempus calamitatis; visumque ei rediturum, si oculos abluisset lotio mulieris, quæ ad suum solius virum accessisset, aliorum virorum expers. Eum ergo ante omnes urinam uxoris suæ expertum, quum nihil amplius cerneret, omnium deinceps urinam expertum, tandem vidisse. Tumque omnes mulieres, quas fuisset expertus, præter eam cujus lotio lotus visum recepisset, unam in urbem coëgisse, quæ Erythrebolos, *rubra gleba*, nunc dicitur, et eas illic coactas cum ipsa urbe omnes concremasse: at eam, cujus lotio lotus visum recepisset, uxo-

δὲ, ἀποφυγὼν τὴν πάθην τῶν ὀφθαλμῶν, ἄλλα τε ἀνὰ τὰ ἱρὰ πάντα τὰ λόγιμα ἀνέθηκε, καὶ τοῦγε λόγον μάλιστα ἄξιόν ἐστι ἔχειν, ἐς τοῦ Ἡλίου τὸ ἱρὸν ἀξιοθέητα ἀνέθηκε ἔργα, ὀβελοὺς δύο λιθίνους ἐξ ἑνὸς ἐόντα ἑκάτερον λίθου, μῆκος μὲν ἑκάτερον πήχεων ἑκατὸν, εὖρος δὲ ὀκτὼ πήχεων.

ριϛʹ. Τούτου δὲ ἐκδέξασθαι τὴν βασιληΐην ἔλεγον ἄνδρα Μεμφίτην, τῷ κατὰ τὴν τῶν Ἑλλήνων γλῶσσαν οὔνομα Πρωτέα εἶναι· τοῦ νῦν τέμενός ἐστι ἐν Μέμφι κάρτα καλόν τε καὶ εὖ ἐσκευασμένον, τοῦ Ἡφαιστηΐου πρὸς νότον ἄνεμον κείμενον. περιοικέουσι δὲ τὸ τέμενος τοῦτο Φοίνικες Τύριοι· καλέεται δὲ ὁ χῶρος οὗτος ὁ συνάπας, Τυρίων στρατόπεδον. ἔστι δὲ ἐν τῷ τεμένεϊ τοῦ Πρωτέος ἱρὸν, τὸ

---

rem duxisse. Hac oculorum clade liberatus cum alia in omnibus templis fama celebratis donaria posuit, tum cujus maxime æquum est mentionem facere, in templo Solis digna spectaculo posuit, geminos saxeos obelos, ex uno utrumque lapide, centenum cubitorum longitudinis, octonum latitudinis.

112 Huic in regno successisse aiebant virum Memphiten, cui nomen esset lingua Græca PROTEUS, cujus nunc apud Memphin visitur fanum, decorum valde ac sane adornatum, ad australem partem templi Vulcani positum, circumquaque Phœnicibus Tyriis habitantibus: qui locus plane omnis castra Tyriorum appellatur. In hoc fano Protei est ædes sacra, quæ

καλέεται ξείνης Ἀφροδίτης· συμβάλλομαι δὲ τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης τῆς Τυνδάρεω· καὶ τὸν λόγον ἀκηκοὼς, ὡς ἐδιαιτήθη Ἑλένη παρὰ Πρωτέϊ, καὶ δὴ καὶ ὅτι ξείνης Ἀφροδίτης ἐπωνύμιόν ἐστι· ὅσα γὰρ ἄλλα Ἀφροδίτης ἱρά ἐστι, οὐδαμῶς ξείνης ἐπικαλέεται.

ριγʹ. Ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ Ἑλένην γενέσθαι ὧδε· Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ Σπάρτης, ἀποπλέειν ἐς τὴν ἑωϋτοῦ· καί μιν, ὡς ἐγένετο ἐν τῷ Αἰγαίῳ, ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ Αἰγύπτιον πέλαγος. ἐνθεῦτεν δὲ (οὐ γὰρ ἀνίει τὰ πνεύματα) ἀπικνέεται ἐς Αἴγυπτον, καὶ Αἰγύπτου ἐς τὸ νῦν Κανωβικὸν καλεύμενον στόμα τοῦ Νείλου, καὶ ἐς Ταριχείας· ἦν δὲ ἐπὶ τῆς ἠϊόνος, ὃ καὶ νῦν ἐστι, Ἡρακλέος ἱρόν· ἐς τὸ

---

vocatur Veneris hospitæ: quam conjicio esse Helenæ Tyndari filiæ; tum quia apud Proteum fuisse diversatam audivi, tum etiam quod cognomine Veneris hospitæ appellatum est. Nam quæcunque sunt alia Veneris templa, neutiquam hospitæ appellantur.

113. Et sane percontanti mihi sacerdotes de Helena, referebant ita rem esse gestam: Alexandrum, rapta Helena e Sparta, quum renavigaret domum, in Ægeo ab expulsoribus ventis cursu excussum in Ægyptium pelagus; atque illinc, non remittentibus flatibus appulsum in Ægyptum, et quidem ad ostium Nili, quod nunc vocatur Canobicum, atque ad Taricheas. Erat in eo littore,

ἢν καταφυγὼν οἰκέτης ὅτεῳ ἀνθρώπων ἐπιβάληται στίγματα ἱρὰ, ἑωϋτὸν διδοὺς τῷ θεῷ, οὐκ ἔξεστι τούτου ἅψασθαι. ὁ νόμος οὗτος διατελέει ἐὼν ὁμοίως μέχρι ἐμεῦ τῷ ἀπαρχῆς. τοῦ ὦν δὴ Ἀλεξάνδρου ἀπιστέαται θεράποντες, πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα νόμον· ἱκέται δὲ ἱζόμενοι τοῦ θεοῦ, κατηγόρεον τοῦ Ἀλεξάνδρου, βουλόμενοι βλάπτειν αὐτόν· πάντα λόγον ἐξηγεύμενοι ὡς εἶχε περὶ τὴν Ἑλένην τε καὶ τὴν ἐς Μενέλεων ἀδικίην· κατηγόρεον δὲ ταῦτα πρός τε τοὺς ἱρέας καὶ τὸν τοῦ στόματος τούτου φύλακον, τῷ οὔνομα ἦν Θῶνις.

ριδ΄. Ἀκούσας δὲ τούτων ὁ Θῶνις, πέμπει τὴν ταχίστην ἐς Μέμφιν παρὰ Πρωτέα ἀγγελίην, λέγουσαν τάδε, « Ἥκει ξεῖνος, γένος « μὲν Τεῦκρος, ἔργον δὲ ἀνόσιον ἐν τῇ Ἑλλά-

---

templum Herculis, quod nunc quoque est: ad quod siquis cujuscunque hominis servus confugiens inponi sibi curet sacras notas, sese deo tradens, eum nefas est tangere. Quæ sanctio ab initio ad meam usque ætatem similiter non mutata perseveravit. Eam templi legem mancipia Alexandri quum audissent, ab eo profugerunt: sedentesque numinis supplices, Alexandrum insimulabant, ei nocere volentes: remque omnem exponebant ut circa Helenam gesta erat. et illatam Menelao injuriam. Insimulabant autem de his apud sacerdotes, et apud hujus ostii præfectum, nomine Thonin.

114. His auditis, Thonis quam raptissime Memphin ad Proteum mittit nuncium, his

" δι ἐξεργασμένος· ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξα-
" πατήσας τὴν γυναῖκα, αὐτήν τε ταύτην ἄ-
" γων ἥκει, καὶ πολλὰ κάρτα χρήματα, ὑπὸ
" ἀνέμων ἐς γῆν ταύτην ἀπενεχθείς. κότερα
" δῆτα τοῦτον ἐῶμεν ἀσινέα ἐκπλέειν, ἢ ἀφε-
" λώμεθα τὰ ἔχων ἦλθε;" ἀντιπέμπει πρὸς ταῦτα ὁ Πρωτεὺς λέγοντα τάδε, " Ἄνδρα
" τοῦτον, ὅστις κότε ἐστὶ ἀνόσια ἐργασμένος
" ξεῖνον τὸν ἑωϋτοῦ, συλλαβόντες, ἀπάγετε
" παρ' ἐμὲ, ἵνα εἰδῶ ὅτι κότε καὶ λέξει."

ριέ. Ἀκούσας δὲ ταῦτα ὁ Θῶνις, συλλαμβάνει τὸν Ἀλέξανδρον, καὶ τὰς νέας αὐτοῦ κατίσχει· μετὰ δὲ, αὐτόν τε τοῦτον ἀνήγαγε ἐς Μέμφιν, καὶ τὴν Ἑλένην τε καὶ τὰ χρήματα· πρὸς δὲ καὶ τοὺς ἱκέτας. ἀνακομισθέντων δὲ πάντων, εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρωτεὺς,

---

verbis. Peregrinus venit genere Teucer, qui rem nefariam in Græcia perpetravit: quippe decepit hospitis uxorem, quam ducens cum multis admodum opibus, in hanc terram ventis appulsus est: utrumne sinemus ergo eum abire illæsum, an ea quæ attulit secum eripiemus? Ad hæc remisit Proteus qui diceret. Virum istum, quicunque is sit, qui rem nefariam in hospitem suum perpetravit, comprehensum ad me deducite, ut quidnam dicturus sit sciam.

115. Hoc ubi accepit Thonis, Alexandrum comprehendit, navesque ejus detinet: dehinc illum Helenamque cum opibus, atque etiam supplices Memphin duxit. Quibus omnibus allatis, Proteus percontatus est Alexan-

τίς εἴη, καὶ ὁκόθεν πλέοι; ὁ δέ οἱ καὶ τὸ γένος κατέλεξε, καὶ τῆς πάτρης εἶπε τοὔνομα· καὶ δὴ καὶ τὸν πλόον, ἀπηγήσατο ὁκόθεν πλέοι. μετὰ δὲ, ὁ Πρωτεὺς εἰρώτα αὐτὸν ὁκόθεν τὴν Ἑλένην λάβοι· πλανωμένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ, καὶ οὐ λέγοντος τὴν ἀληθηΐην, ἤλεγχον οἱ γενόμενοι ἱκέται, ἐξηγεύμενοι πάντα λόγον τοῦ ἀδικήματος· τέλος δὲ δή σφι λόγον τόνδε ἐκφαίνει ὁ Πρωτεὺς, λέγων, ὅτι, "Ἐγὼ εἰ μὴ περὶ πολλοῦ ἡγεύμην μηδένα "ξείνων κτείνειν, ὅσοι ὑπ' ἀνέμων ἤδη ἀπο-"λαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμὴν, ἐγώ "ἄν σε ὑπὲρ τοῦ Ἕλληνος ἐτισάμην· ὃς, ὦ "κάκιστε ἀνδρῶν, ξεινίων τυχὼν, ἔργον ἀνοσι-"ώτατον ἐργάσαο· παρὰ τοῦ σεωϋτοῦ ξείνου "τὴν γυναῖκα ἦλθες· καὶ μάλα ταῦτά τοι

---

drum quisnam esset, et unde incepisset navigare? Alexander illi et genus suum commemoravit, et patriæ nomen, et unde navigationem instituisset. Sed interrogante Proteo, unde Helenam accepisset, titubantem in loquendo ac obscurantem quod res erat, coarguebant ii, qui erant supplices, exponentes omnia quæ in scelere admittendo gesta essent. Tandem Proteus eis hanc sententiam tulit, inquiens. Ego, nisi magni interesse arbitrarer, nullum peregrinum interficere, quotquot jam ad terram meam venerunt ventis appulsi, supplicium pro Græco illo de te sumerem, qui, o virorum deterrime, hospitii fidem adeptus, scelestissimum facinus admisisti. Ad hospitis tui uxorem intravisti: neque sane his contentus fuisti, sed cum eam

" οὐκ ἤρκεσε, ἀλλ' ἀναπτερώσας αὐτὴν, οἴχεαι
" ἔχων ἐκκλέψας. καὶ οὐδὲ ταῦτά τοι μοῦνα
" ἤρκεσε, ἀλλὰ καὶ τὰ οἰκία τοῦ ξείνου κερα-
" ΐσας ἥκεις· νῦν ὦν ἐπείδὴ περὶ πολλοῦ ἥγη-
" μαι μὴ ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην
" καὶ τὰ χρήματα οὔ τοι προήσω ἀπάγεσθαι,
" ἀλλ' αὐτὰ ἐγὼ τῷ Ἕλληνι ξείνῳ φυλάξω,
" ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος ἀπαγαγέσθαι
" ἐθέλῃ· αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους
" τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς
" ἐς ἄλλην τινὰ μετορμίζεσθαι· εἰ δὲ μὴ, ἅτε
" πολεμίους περιέψεσθαι."

ρις'. Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρω-τέα ἔλεγον οἱ ἱρέες γενέσθαι. δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ' οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιΐην εὐπρεπὴς ἦν

---

extulisses abisti retinens per furtum. Ac ne sic quidem satis consceleratus, etiam compilata hospitis domo venis. Itaque quoniam magni momenti esse duco non necare hospitem, mulierem hanc atque opes tibi ut abducas non permittam, sed ego hæc Græco hospiti servabo, dum ille ipse veniens constituerit reportare. Tibi vero ipsi, tuisque convectoribus, ut e mea terra in aliam triduo transfretetis, præcipio, alioqui vos pro hostibus persequuturus.

116. Hunc Helenæ ad Protea adventum fuisse sacerdotes referebant. Quam famam videtur mihi et Homerus accepisse: sed quia non perinde ad carminis formam decora erat, ac ista, qua est usus: qua propter eum

τῷ ἑτέρῳ, τῷπερ ἐχρήσατο. ἐς ὃ μετῆκε αὐτὸν, δηλώσας ὡς καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον· δῆλον δὲ, κατὰ τὰ ἐποίησε ἐν Ἰλιάδι, καὶ οὐδαμῆ ἄλλῃ ἀνεπόδισε ἑωϋτὸν, πλάνην τὴν Ἀλεξάνδρου, ὡς ἀπηνείχθη ἄγων Ἑλένην· τῇ τε δὴ ἄλλῃ πλαζόμενος, καὶ ὡς ἐς Σιδῶνα τῆς Φοινίκης ἀπίκετο· ἐπιμέμνηται δὲ αὐτοῦ ἐν Διομήδεος ἀριστείῃ· λέγει δὲ τὰ ἔπεα οὕτω.

Ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
Ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
Τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν·

ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ, ἐν τοίσιδε τοῖσι ἔπεσι,

---

neglexit, declarans se hanc famam notam habuisse. Id manifestum est ex eo, quod in Iliade facit mentionem ejusdem erroris Alexandri: nec usquam alibi retractat, Alexandrum abducentem Helenam, cum alibi fuisse errabundum, tum etiam Sidonem Phœnices applicuisse. Meminit enim hujus rei in eo loco, ubi est virtus Diomedis: ita autem versus inquiunt;

Picturata inerant ibi pallia, facta puellis
Sidoniis, quas ipse Paris formosus ab urbe
Sidonia duxit, sulcans freta lata carinis,
Quum retulit magnis Helenam natalibus ortam.

Meminit quoque in Odyssea his versibus,

Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
Ἐσθλά, τά οἱ Πολυδάμνα πόρεν Θῶνος παράκοιτις
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά·

καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον Μενέλεως λέγει,

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
Ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.

ἐν τούτοισι τοῖσι ἔπεσι δηλοῖ, ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ· οἱ δὲ Φοίνικες, τῶν ἐστι ἡ Σιδὼν, ἐν τῇ Συρίῃ οἰκέουσι.

ριζ΄. Κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε τὸ χωρίον οὐκ ἥκιστα, ἀλλὰ μάλιστα δηλοῖ, ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι, ἀλλ' ἀλ-

Hoc habuit Jove nata probum præsensque venenum,
Quod Polydamna sibi Thonis donaverat uxor
Ægypti, cui terra ferax fert plurima mixtim,
Multa quidem proba, multa autem damnosa venena.

Hæc quoque alia ad Telemachum Menelaus inquit,

Hoc etiam Ægypto dii me tenuere reverti
Conantem, quibus haud tuleram solennia sacra.

In his carminibus fatetur Homerus se nosse errationem Alexandri in Ægyptum. Est enim Syria Ægypto contermina, et Phœnices, quorum Sidon est, in Syria incolunt.

117. Itaque cum hi versus, tum vero hic locus, non minimum, imo maxime probant, Cyprios versus, non Homeri, sed

λου τινός. ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων τὴν Ἑλένην, εὐαέϊ τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν.

ριη΄. Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω· εἰρομένου δέ μευ τοὺς ἱρέας εἰ μάταιον λόγον λέγουσι οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι, ἢ οὔ; ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτοῦ Μενέλεω· ἐλθεῖν μὲν γὰρ, μετὰ τὴν Ἑλένης ἁρπαγὴν, ἐς τὴν Τευκρίδα γῆν Ἑλλήνων στρατιὴν πολλὴν βοηθεῦσαν Μενέλεῳ. ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν, πέμπτειν ἐς τὸ Ἴλιον ἀγγέλους· σὺν δέ σφι ἰέναι καὶ αὐτὸν Μενέλεων· τούς δ' ἐπεί τε ἐσελθεῖν ἐς τὸ

---

cujuspiam alterius esse: in quibus dicitur Alexander Helenam ducens, triduo Ilium ex Sparta pervenisse, secundo vento usus ac tranquillo mari: quum in Iliade dicat illum, quum Helenam duceret, errasse.

118. Sed Homerus et Cypria carmina valeant. Ceterum, nunquid Græci vana quæ circa Ilium gesta memorarent necne, percontanti mihi, sacerdotes ita respondebant, se cognovisse ex ipso Menelao, rapta Helena magnas Græcorum copias auxilio venisse Menalao in Teucrida: quæ in terram egressæ, locoque communito, miserunt Ilium nuncios, cumque eis et ipsum Menelaum isse. Hos, postquam ingressi sunt mœnia, tum Helenam, opesque, quas Alexander

τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα, τά οἱ οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν· τούς δὲ Τεύκρους τὸν αὐτὸν λόγον λέγειν τότε καὶ μετέπειτα, καὶ ὀμνύντας, καὶ ἀνωμοτὶ, μὴ μὲν ἔχειν Ἑλένην, μηδὲ τὰ ἐπικαλεύμενα χρήματα, ἀλλ' εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ· καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν, ἃ Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς ἔχει· οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ' αὐτῶν, οὕτω δὴ ἐπολιόρκεον, ἐς ὃ ἐξεῖλον· ἑλοῦσι δὲ τὸ τεῖχος ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ πρώτῳ οἱ Ἕλληνες, αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ Πρωτέα.

ριθ'. Ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν

---

furto sibi abstulisset, repoposcisse, tum injuriarum pœnas postulavisse. Teucros autem et tunc et postea eadem narrasse vel juratos vel injuratos, non habere se Helenam, neque opes, de quibus arguerentur, sed ea in Ægypto esse omnia: neque se juste reatum sustinere earum rerum, quas Proteus Ægyptius rex teneret: Græcos, quum se ab illis derideri arbitrarentur, ita obsedisse Ilium, donec expugnaverunt. Urbe capta, quum Helena non appareret, et eandem orationem quam prius audirent: ita demum habita prioribus verbis fide, Græci Menelaum ipsum ad Proteum mittunt.

119. Hic ubi in Ægyptum pervenit, et Memphin nave as-

Αἴγυπτον, καὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, εἴπας τὴν ἀληθηΐην τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων, καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε· πρὸς δὲ, καὶ τὰ ἑωϋτοῦ χρήματα πάντα· τυχὼν μέντοι τούτων, ἐγένετο Μενέλεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους· ἀποπλέειν γὰρ ὡρμημένον αὐτὸν ἴσχον ἄπλοιαι· ἐπειδὴ δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτο ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν ἐπιχωρίων, ἔντομά σφεα ἐποίησε· μετὰ δὲ, ὡς ἐπάϊστος ἐγένετο τοῦτο ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος, οἴχετο φεύγων τῇσι νηυσὶ ἐπὶ Λιβύης· τὸ ἐνθεῦτεν δὲ ὅκου ἔτι ἐτράπετο, οὐκ εἶχον εἰπεῖν Αἰγύπτιοι· τούτων δὲ τὰ μὲν ἱστορίῃσι ἔφασαν ἐπίστασθαι, τὰ δὲ, παρ' ἑωϋτοῖσι γενόμενα, ἀτρεκέως ἐπιστάμενοι λέγειν.

---

cendit, exposita rei gestæ veritate, honorificentissime hospitio exceptus, Helenam malorum immunem recepit, et insuper omnes pecunias suas. Et quum hæc assequutus esset Menelaus, tamen injurius in Ægyptios extitit; nam quum proficisci conaretur, nec per ventos posset; idque iam diu, rem nefariam excogitavit. Sumptis enim duobus pueris quorundam indigenarum filiis, exsectisque, haruspicinam fecit. Quod ubi eum fecisse rescitum est, invisus et exagitatus fugiens navibus in Africam abiit. Inde quo se ulterius contulerit, non poterant referre Ægyptii. Atque horum alia sese inquirendo comperisse dicebant, alia ut apud ipsos gesta, sese liquide habere cognita.

ρκ΄, Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλεγον· ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλένης λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος, εἰ ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν τοῖσι Ἕλλησι, ἤτοι ἑκόντος γε ἢ ἄκοντος Ἀλεξάνδρου. οὐ γὰρ δὴ οὕτω γε φρενοβλαβὴς ἦν ὁ Πρίαμος, οὐδὲ οἱ ἄλλοι προσήκοντες αὐτῷ, ὥστε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ τῇ πόλι κινδυνεύειν ἐβούλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συνοικέῃ· εἰ δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα ἐγίνωσκον, ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων, ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι, ἀπώλλυντο, αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο, ἢ τρεῖς, ἢ καὶ ἔτι πλείους τῶν παίδων μάχης γινομένης ἀπέθνησκον, εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεόμενον

---

120. Et hæc quidem aiebant Ægyptiorum sacerdotes. Ego vero ad ea, quæ de Helena commemorata sunt, et ipse deferor, hoc adiiciens, Si intra Ilium fuisset Helena, utique fuisset Græcis tradita, sive volente Alexandro sive invito. Neque enim ita desipiebat Priamus, aut alii ejus propinqui, ut suis ipsorum corporibus ac liberis, atque etiam urbe periclitari vellent, quo Alexander Helenæ nuptiis potiretur. Quod si etiam inter initia ita sensissent, tamen, posteaquam conflictibus contra Græcos habitis cum multi aliorum Trojanorum, tum vero Priami filiorum duo tresve aut plures perierant prœliantes, siquid referentibus credi versificatoribus debet: hæc, inquam, talia quum

λέγειν. τούτων δὲ τοιούτων συμβαινόντων, ἐγὼ μὲν ἔλπομαι, εἰ καὶ αὐτὸς Πρίαμος συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγήσεσθαι. οὐ μὲν οὐδὲ ἡ βασιληΐη ἐς Ἀλέξανδρον περιήϊε, ὥστε γέροντος Πριάμου ἐόντος, ἐπ' ἐκείνῳ τὰ πρήγματα εἶναι, ἀλλὰ Ἕκτωρ, καὶ πρεσβύτερος, καὶ ἀνὴρ ἐκείνου μᾶλλόν γ' ἐὼν, ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος παραλάμψεσθαι· τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτρέπειν, καὶ ταῦτα, μεγάλων κακῶν δι' αὐτὸν συμβαινόντων, ἰδίῃ τε καὶ αὐτῷ, καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι, οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθηΐην ἐπίστευον οἱ Ἕλληνες· ὡς μὲν ἐγὼ γνώμην ἀποφαίνομαι,

---

contigissent, ego crediderim, Priamum, vel si ipse contubernalem Helenam habuisset, Achæis redditurum fuisse, cupiditate præsentia mala devitandi. Neque vero regnum ad Alexandrum pertinebat, ut iam sub eo res essent, seniore Priamo, quum Hector et natu major et virtute præstantior quam ille, regnum esset defuncto Priamo suscepturus: quem haudquaquam decuisset fratri injuste agenti indulgere, quum præsertim tanta mala propter eum, tum privatim ipsi, tum ceteris Trojanis omnibus evenirent. Sed nec poterant reddere Helenam, nec verum dicentibus eis Græci fidem habebant, numine, ut quod sentio dicam, disponente, ut funditus eversi planum face-

τοῦ δαιμονίου παρασκευάζοντος, ὅκως πανωλεθρίῃ ἀπολόμενοι, καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν. καὶ ταῦτα μὲν, τῇ ἐμοὶ δοκέει, εἴρηται.

ρκά. Πρωτέος δὲ ἐκδέξασθαι τὴν βασιληΐην Ῥαμψίνιτον ἔλεγον· ὃς μνημόσυνα ἐλίπετο τά προπύλαια, τὰ πρὸς ἑσπέρην τετραμμένα τοῦ Ἡφαιστείου. ἀντίους δὲ τῶν προπυλαίων ἔστησε ἀνδριάντας δύο, ἐόντας τὸ μέγαθος πέντε καὶ εἴκοσι πήχεων· τῶν Αἰγύπτιοι τὸν μὲν πρὸς Βορέω ἑστεῶτα καλέουσι Θέρος, τὸν δὲ πρὸς νότον, Χειμῶνα· καὶ τὸν μὲν καλέουσι Θέρος, τοῦτον μὲν προσκυνέουσί τε καὶ εὖ ποιέουσι· τὸν δὲ Χειμῶνα καλεύμενον, τὰ ἔμπα-

rent hominibus, magnarum injuriarum magnas a diis etiam venire ultiones. Et hæc quidem, ut mihi videntur, dicta sunt.

121. Protei autem regnum dicebant suscepisse RHAMPSINITUM, qui monumenta reliquit antefores ad occasum spectantes templi Vulcani; et e regione istarum statuit duo simulacra quinum et vicenum cubitorum magnitudinis: quorum quod versus aquilonem stat, Ægyptii Æstatem vocant; quod versus austrum, Hiemem: et quod quidem vocant Æstatem, id adorant et placant; Hiemem vero quod vocant, vice versa in eo consulunt. Huic regi ingentem etiam pecuniarum vim fuisse, quam nemo regum, qui deinceps Ægyptum tenuerunt,

λιν τούτων ἔρδουσι. πλοῦτον δὲ τούτῳ τῷ βασιλέϊ γενέσθαι ἀργύρου μέγαν, τὸν οὐδένα τῶν ὕστερον ἐπιτραφέντων βασιλέων δύνασθαι ὑπερβαλέσθαι, οὐδ᾽ ἐγγὺς ἐλθεῖν. βουλόμενον δὲ αὐτὸν ἐν ἀσφαληΐῃ τὰ χρήματα θησαυρίζειν, οἰκοδομέεσθαι οἴκημα λίθινον· τοῦ τῶν τοίχων ἕνα ἐς τὸ ἔξω μέρος τῆς οἰκίης ἔχειν. τὸν δὲ ἐργαζόμενον ἐπιβουλεύοντα, τάδε μηχανᾶσθαι· τῶν λίθων παρασκευάσασθαι ἕνα ἐξαίρετον εἶναι ἐκ τοῦ τοίχου ῥηϊδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ ὑπ᾽ ἑνός· ὡς δὲ ἐπετελέσθη τὸ οἴκημα, τὸν μὲν βασιλῆα θησαυρίσαι τὰ χρήματα ἐν αὐτῷ· χρόνου δὲ περιϊόντος, τὸν οἰκοδόμον περὶ τελευτὴν τοῦ βίου ἐόντα, ἀνακαλέσασθαι τοὺς παῖδας (εἶναι γὰρ αὐτῷ δύο) τούτοισι δὲ ἀπηγήσασθαι, ὡς ἐκείνων προορέων, ὅκως βίον ἄφθονον ἔχωσι, τεχνάσαιτο οἰκο-

---

superare potuerit, ac ne proxime quidem accedere. Et quum in tuto eam pecuniam collocare vellet, ædificium exstruxisse lapideum, cujus parietum unus in exteriorem ædium partem pertinebat; sed structorem insidiantem hæc fuisse machinatum: unum e lapidibus ita struxisse ut e pariete facile eximi a duobus viris, etiam ab uno posset; ædificio absoluto, regem in eo pecuniam reposuisse: interjecto tempore, structorem illum, quum esset circa vitæ finem, vocasse ad se filios, nam duo huic erant, eisque narrasse, se illis prospicientem, ut copiosum victum haberent, astu usum fuisse in ædificando regis thesau-

δομέων τὸν θησαυρὸν τοῦ βασιλῆος· σαφέως δ' αὐτοῖσι πάντα ἐξηγησάμενον τὰ περὶ τὴν ἐξαίρεσιν τοῦ λίθου, δοῦναι τὰ μέτρα αὐτοῦ, λέγοντα ὡς ταῦτα διαφυλάσσοντες ταμίαι τῶν βασιλῆος χρημάτων ἔσονται. καὶ τὸν μὲν τελευτῆσαι τὸν βίον, τοὺς δὲ παῖδας αὐτοῦ οὐκ ἐς μακρὸν ἔργου ἔχεσθαι· ἐπελθόντας δὲ ἐπὶ τὰ βασιλήϊα νυκτὸς, καὶ τὸν λίθον ἐπὶ τῷ οἰκοδομήματι ἀνευρόντας, ῥηϊδίως μεταχειρίσασθαι, καὶ τῶν χρημάτων πολλὰ ἐξενείκασθαι. ὡς δὲ τυχεῖν τὸν βασιλῆα ἀνοίξαντα τὸ οἴκημα, θωϋμάσαι, ἰδόντα τῶν χρημάτων καταδεᾶ τὰ ἀγγήϊα· οὐκ ἔχειν δὲ ὅν τινα ἐπαιτιᾶται, τῶν τε σημάντρων ἐόντων σώων, καὶ τοῦ οἰκήματος κεκλειμένου. ὡς δὲ αὐτῷ καὶ δὶς καὶ τρὶς ἀνοίξαντι, αἰεὶ ἐλάσσω φαίνεσθαι τὰ χρήματα (τοὺς γὰρ κλέπτας οὐκ ἀνιέναι

---

ro; denique plane omnia illis exposuisse, quæ pertinerent ad lapidem eximendum, etiam dedisse mensuras ejus ac dixisse, illos hæc observantes, regis pecuniarum quæstores fore. Patre vita functo, haud in longum filios rem distulisse; noctu enim ad regiam accedentes, lapidem in ædificio inventum nullo negotio amovisse, multumque pecuniæ extulisse. Quum autem rex forte aperuisset ædificium, videretque vasa pecuniarum imminuta, obstupuisse: nec habuisse quem insimularet, quum et signa salva et ædificium obseratum esset. Ubi autem iterum ac tertio aperienti minor assidue pecunia apparebat, (nam fures

κεραΐζοντας) ποιῆσαί μιν τάδε· πάγας προστάξαι ἐργάσασθαι, καὶ ταύτας περὶ τὰ ἀγγήϊα ἐν τοῖσι τὰ χρήματα ἐνῆν, στῆσαι· τῶν δὲ φωρῶν ὥσπερ ἐν τῷ πρότου χρόνῳ ἐλθόντων, καὶ ἐνδύντος τοῦ ἑτέρου αὐτῶν, ἐπεὶ πρὸς τὸ ἄγγος προσῆλθε, ἰθέως τῇ πάγῃ ἐνέχεσθαι· ὡς δὲ γνῶναι αὐτὸν ἐν οἵῳ κακῷ ἦν, ἰθέως καλέειν τὸν ἀδελφεὸν, καὶ δηλοῦν αὐτῷ τὰ παρεόντα, καὶ κελεύειν τὴν τάχιστην ἐσδύντα, ἀποτάμνειν αὐτοῦ τὴν κεφαλὴν, ὅκως μὴ αὐτὸς ὀφθεὶς, καὶ γνωρισθεὶς ὃς εἴη, προσαπολέσει καὶ ἐκεῖνον· τῷ δὲ δόξαι εὖ λέγειν, καὶ ποιῆσαί μιν πεισθέντα ταῦτα· καὶ καταρμόσαντα τὸν λίθον, ἀπιέναι ἐπ' οἴκου, φέροντα τὴν κεφαλὴν τοῦ ἀδελφεοῦ, ὡς δὲ ἡμέρη ἐγένετο, ἐσελθόντα τὸν βασιλῆα ἐς τὸ οἴκημα,

---

non desinebant diripere) hoc fecisse: laqueos fieri imperavisse, et eos circa vasa in quibus pecuniæ inerant collocasse: fures, quemadmodum superiori tempore, quum venissent, et alter eorum penetrans ad vas recta perrexisset, eum fuisse laqueo innexum; et ubi agnovit quo in malo esset, protinus fratrem vocasse, et præsentis conditionis suæ certiorem fecisse; jussisseque ut quam celerrime introgressus sibi caput abscinderet, ne ipse conspectus agnitusque quis esset, etiam illius vitam perderet. Qui quum visus esset probe dicere, fratrem ei obsequentem ita fecisse: et adaptato lapide domum abisse, fratris caput asportantem. Ubi dies illuxit, ingressum in ædificium

ἐκπεπλῆχθαι, ὁρέοντα τὸ σῶμα τοῦ φωρὸς ἐν τῇ πάγῃ ἄνευ τῆς κεφαλῆς ἐόν· τὸ δὲ οἴκημα, ἀσινὲς, καὶ οὔτε ἔσοδον, οὔτε ἔκδυσιν οὐδεμίην ἔχον. ἀπορεύμενον δέ μιν, τάδε ποιῆσαι· τοῦ φωρὸς τὸν νέκυν κατὰ τοῦ τείχεος κατακρεμάσαι· φυλάκους δὲ αὐτοῦ καταστήσαντα, ἐντείλασθαί σφισι, τὸν ἂν ἴδωνται ἀποκλαύσαντα, ἢ κατοικτισάμενον, συλλαβόντας ἄγειν πρὸς ἑωϋτόν· ἀνακρεμαμένου δὲ τοῦ νέκυος, τὴν μητέρα δεινῶς φέρειν· λόγους δὲ πρὸς τὸν περιεόντα παῖδα ποιευμένην, προστάσσειν αὐτῷ ὅτεῳ τρόπῳ δύναται μηχανᾶσθαι, ὅκως τὸ σῶμα τοῦ ἀδελφεοῦ καταλύσας κομιεῖ· εἰ δὲ τούτων ἀμελήσει, διαπειλέειν αὐτὴν, ὡς ἐλθοῦσα πρὸς τὸν βασιλῆα, μηνύσει αὐτὸν ἔχοντα τὰ χρήματα. ὡς δὲ χαλεπῶς

---

regem expavisse, cernentem corpus furis in laqueo sine capite, et ædificium incorruptum, nullumque neque ingressum neque egressum habens. Ita quum hæreret, faciendum statuisse, ut furis cadaver e muro suspenderet: custodesque illic apposuisse, jussos ut siquem plorantem aut miserantem animadvertissent, eum apprehensum ad se ducerent. Suspenso cadavere matrem indigne tulisse, alloquutamque filium qui supererat, imperasse ut quacunque ratione machinari posset, corpus fratris resolveret asportaretque: id si negligeret, minatam se regem esse adituram ad eum deferendum, quod pecunias haberet. Adversus hanc quum filius multa verba faceret, nec persuade-

ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιεόντος παιδὸς, καὶ πολλὰ πρὸς αὐτὴν λέγων οὐκ ἔπειθε, ἐπιτεχνήσασθαι τοιάδε μιν· ὄνους κατασκευασάμενον, καὶ ἀσκοὺς πλήσαντα οἴνου, ἐπιθεῖναι ἐπὶ τῶν ὄνων, καὶ ἔπειτα ἐλαύνειν αὐτούς· ὡς δὲ κατὰ τοὺς φυλάσσοντας ἦν τὸν κρεμάμενον νέκυν, ἐπισπάσαντα τῶν ἀσκῶν δύο ἢ τρεῖς ποδεῶνας αὐτὸν λύειν ἀπαμμένους· ὡς δὲ ἔῤῥεε ὁ οἶνος, τὴν κεφαλὴν μιν κόπτεσθαι μεγάλα βοῶντα, ὡς οὐκ ἔχοντα πρὸς ὁκοῖον τῶν ὄνων πρῶτον τράπηται· τοὺς δὲ φυλάκους, ὡς ἰδεῖν πολλὺν ῥέοντα τὸν οἶνον, συντρέχειν ἐς τὴν ὁδὸν, ἀγγήϊα ἔχοντας, καὶ τὸν ἐκκεχυμένον οἶνον συγκομίζειν, ἐν κέρδεϊ ποιευμένους· τὸν δὲ διαλοιδορέεσθαι πᾶσι, ὀργὴν προσποιεύμενον· παραμυθευμένων δὲ αὐτὸν τῶν φυλάκων, χρόνῳ πρηΰνεσθαι προσποιέεσθαι, καὶ ὑπίε-

---

ret, quod illa eum graviter accipiebat, eum talem rem fuisse commentum: instructis asinis utres vino plenos imposuisse: et postquam agendo asinos juxta custodes suspensi cadaveris fuit, attractis petiolis ipsum duobus tribusve utrium, solvisse pendentes, et quum vinum flueret, tum caput sibi cædentem, vehementer vociferatum esse, tanquam nescientem ad quem prius asinorum se converteret. Custodes quum multum vini fluere viderent, concurrisse cum vasis in viam: et id quod effusum esset lucrifacientes comportasse. Istum simulata iracundia omnibus maledixisse, aliquantoque post illis consolantibus, finxisse

σθαι τῆς ὀργῆς. τέλος δὲ, ἐξελάσαι αὐτὸν τοὺς ὄνους ἐκ τῆς ὁδοῦ, καὶ κατασκευάζειν. ὡς δὲ λόγους τε πλείους ἐγγίνεσθαι, καὶ τινα καὶ σκῶψαί μιν, καὶ ἐς γέλωτα προαγαγέσθαι, ἐπιδοῦναι αὐτοῖσι τῶν ἀσκῶν ἕνα. τοὺς δὲ αὐτοῦ ὥσπερ εἶχον κατακλιθέντας πίνειν διανοέεσθαι, καὶ ἐκεῖνον παραλαμβάνειν, καὶ κελεύειν μετ' ἑωϋτῶν μείναντα συμπίνειν· τὸν δὲ πεισθῆναί τε δὴ, καὶ καταμεῖναι. ὡς δέ μιν παρὰ τὴν πόσιν φιλοφρόνως ἠσπάζοντο, ἐπιδοῦναι αὐτοῖσι καὶ ἄλλον τῶν ἀσκῶν. δαψιλέϊ δὲ τῷ ποτῷ χρησαμένους τοὺς φυλάκους, ὑπερμεθυσθῆναι· καὶ κρατηθέντας ὑπὸ τοῦ ὕπνου, αὐτοῦ ἔνθάπερ ἔπινον κατακοιμηθῆναι· τὸν δὲ, ὡς πρόσω ἦν τῆς νυκτὸς, τό, τε σῶμα τοῦ ἀδελφεοῦ καταλῦσαι, καὶ τῶν φυλάκων ἐπὶ λύμῃ πάντων

---

se mitigatum, et ab irascendo desisse. Tandem exegisse a via asinos atque reparavisse: et quum plura verba inter eos fierent, et quidam faceto dicto hominem lacesseret, ut risum eliceret, donasse illis unum ex utribus. Atque eos illic, ut erant, discumbentes, potare constituisse, prehensantes hominem ac jubentes ut secum ad compotandum maneret: atque istum obsequutum remansisse, et quum inter potandum comiter acciperetur, insuper donasse alium utrem. Ita se vino ingurgitantes custodes, admodum temulentos esse factos, somnoque oppressos, ibidem ubi potaverant obdormisse. Istum, ubi multum noctis erat, tunc corpus fratris dissolvisse, et custodum malas dex-

ξυρῆσαι τὰς δεξιὰς παρηΐδας· ἐπιθέντα δὲ τὸν νέκυν ἐπὶ τοὺς ὄνους, ἀπελαύνειν ἐπ' οἴκου, ἐπιτελέσαντα τῇ μητρὶ τὰ προσταχθέντα· τὸν δὲ βασιλέα, ὡς αὐτῷ ἀπηγγέλθη τοῦ φωρὸς ὁ νέκυς ἐκκεκλεμμένος, δεινὰ ποιέειν· πάντως δὲ βουλόμενον εὑρεθῆναι ὅστις κοτὲ εἴη ὁ ταῦτα μηχανώμενος, ποιῆσαί μιν τάδε, ἐμοὶ μὲν οὐ πιστά· τὴν θυγατέρα τὴν ἑωϋτοῦ κατίσαι ἐπ' οἰκήματος, ἐντειλάμενον πάντας τε ὁμοίως προσδέκεσθαι· καὶ πρὶν συγγενέσθαι, ἀναγκάζειν λέγειν αὐτῇ ὅ, τι δὴ ἐν τῷ βίῳ ἔργασται αὐτῷ σοφώτατον καὶ ἀνοσιώτατον· ὃς δ' ἂν ἀπηγήσηται τὰ περὶ τὸν φῶρα γεγενημένα, τοῦτον συλλαμβάνειν, καὶ μὴ ἀπιέναι ἔξω· ὡς δὲ τὴν παῖδα ποιέειν τὰ ἐκ τοῦ πατρὸς προσταχθέντα, τὸν φῶρα πυθόμενον τῶν εἵνεκα

---

tras in contumeliam derasisse, et asinos imposito cadavere domum versus agitasse, exequutumque imperia matris. Regem, ubi ei renunciatum est furis cadaver surreptum, acerbe tulisse: et quum vellet quoquomodo invenire quinam esset ista machinatus, hoc fecisse, quod apud me caret fide: filiam suam domi prostituisse, jussam omnes indifferenter excipere: sed priusquam coirent, adigere ad sibi dicendum quidnam in vita esset actum a se solertissimum ac scelestissimum: et qui narraret quæ circa furem acta essent, eum comprehenderet, neque exire permitteret. Quum itaque filia patris imperia faceret, furem, quum audisset quamobrem ista fierent, ac vellet su-

ταῦτα ἐπρήσσετο, βουληθέντα πολυτροπίῃ τοῦ βασιλῆος περιγενέσθαι, ποιέειν τάδε· νεκροῦ προσφάτου ἀποταμόντα ἐν τῷ ὤμῳ τὴν χεῖρα, ἰέναι αὐτὸν ἔχοντα αὐτὴν ὑπὸ τῷ ἱματίῳ· ἐσελθόντα δὲ ὡς τοῦ βασιλῆος τὴν θυγατέρα, καὶ εἰρωτεόμενον τάπερ καὶ οἱ ἄλλοι, ἀπηγήσασθαι ὡς ἀνοσιώτατον μὲν εἴη ἐργασμένος, ὅτε τοῦ ἀδελφεοῦ ἐν τῷ θησαυρῷ τοῦ βασιλῆος ὑπὸ πάγης ἁλόντος ἀποτάμοι τὴν κεφαλήν· σοφώτατον δὲ, ὅτι τοὺς φυλάκους καταμεθύσας, καταλύσειε τοῦ ἀδελφεοῦ κρεμαμένον τὸν νέκυν· τὴν δὲ, ὡς ἤκουσε, ἅπτεσθαι αὐτοῦ· τὸν δὲ φῶρα ἐν τῷ σκότεϊ προτεῖναι αὐτῇ τοῦ νεκροῦ τὴν χεῖρα· τὴν δὲ, ἐπιλαβομένην ἔχειν, νομίζουσαν αὐτοῦ ἐκείνου τῆς χειρὸς ἀντέχεσθαι· τὸν δὲ φῶρα προέμενον αὐτῇ,

---

perare versutia regem, hoc egisse: recentis mortui amputatam ex humero manum sub pallio ferentem isse, atque ingressum ad filiam regis, quum interrogatus esset eadem quæ cæteri, enarrasse, hoc se scelestissimum perpetrasse, quod fratris in thesauro regis laqueo capti caput amputasset: solertissimum autem, quod custodibus ebriis factis cadaver fratris suspensi resolvisset. Illam, quum hæc audisset, manum in hunc injecisse: eique furem in tenebris manum mortui porrexisse; quam mulier quum apprehendisset, manum se hujus tenere rata, istum per fores se proripuisse, muliere delusa. Postquam et hæc renunciata sunt regi, stuporem incussisse tum astutiam, tum au-

οἴχεσθαι διὰ θυρέων φεύγοντα. ὡς δὲ καὶ ταῦτα ἐς τὸν βασιλέα ἀνενειχθῆ, ἐκπεπλῆχθαι μὲν ἐπὶ τῇ πολυφροσύνῃ τε καὶ τόλμῃ τἀνθρώπου· τέλος δὲ, διαπέμποντα ἐς πάσας τὰς πόλις, ἐπαγγέλλεσθαι ἄδειάν τε διδόντα, καὶ μεγάλα ὑποδεκόμενον ἐλθόντι ἐς ὄψιν τὴν ἑωϋτοῦ· τὸν δὲ φῶρα, πιστεύσαντα, ἐλθεῖν πρὸς αὐτόν· Ῥαμψίνιτον δὲ μεγάλως θωϋμάσαι, καὶ οἱ τὴν θυγατέρα ταύτην συνοικίσαι, ὡς πλεῖστα ἐπισταμένῳ ἀνθρώπων· Αἰγυπτίους μὲν γὰρ τῶν ἄλλων προκεκρίσθαι, ἐκεῖνον δὲ, Αἰγυπτίων.

ρκβ΄. Μετὰ δὲ ταῦτα, ἔλεγον τοῦτον τὸν βασιλῆα ζωὸν καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες ἀΐδην νομίζουσι εἶναι, κἀκεῖθι συγκυβεύειν τῇ Δήμητρι· καὶ τὰ μὲν, νικᾷν αὐ-

---

daciam hominis. Ad extremum, dimissis per omnes urbes nunciis, regem edixisse, non modo veniam sed etiam magna munera manere furem, si in conspectum ipsius veniret; ita furem, fide habita, ad eum venisse, eique Rhampsinitum, magna viri admiratione ductum, filiam suam collocasse, tanquam ex omnibus mortalibus plurima scienti: nam Ægyptios quidem ceteris, hunc autem Ægyptiis antecellere.

122. Post hæc aiebant regem hunc descendisse vivum sub terram, eo ubi Græci opinantur sedes infernas esse, et ibi cum Cerere alea ludere; et aliquando victorem, aliquando victum fuisse: et sursum iterum fuisse reversum, munus ab ea obtinentem mantile aureum. Quod

τὴν, τὰ δὲ, ἑσσοῦσθαι ὑπ᾽ αὐτῆς· καί μιν πάλιν ἀπικέσθαι δῶρον ἔχοντα παρ᾽ αὐτῆς χειρόμακτρον χρύσεον. ἀπὸ δὲ τῆς Ῥαμψινίτου καταβάσιος, ὡς πάλιν ἀπίκετο, ὁρτὴν δὴ ἀνάγειν Αἰγυπτίους ἔφασαν, τὴν καὶ ἐγὼ οἶδα ἔτι καὶ ἐς ἐμὲ ἐπιτελέοντας αὐτούς· οὐ μέντοι εἴτε δι᾽ ἄλλο τι, εἴτε διὰ ταῦτα ὁρτάζουσι, ἔχω λέγειν· φάρος δὲ αὐτημερὸν ἐξυφήναντες οἱ ἱρέες, κατ᾽ ὧν ἔδησαν ἑνὸς αὐτῶν μίτρῃ τοὺς ὀφθαλμούς. ἀγαγόντες δέ μιν ἔχοντα τὸ φάρος ἐς ὁδὸν φέρουσαν ἐς ἱρὸν Δήμητρος, αὐτοὶ ἀπαλλάσσονται ὀπίσω· τὸν δ᾽ ἱρέα τοῦτον καταδεδεμένον τοὺς ὀφθαλμοὺς, λέγουσι ὑπὸ δύο λύκων ἄγεσθαι ἐς τὸ ἱρὸν τῆς Δήμητρος, ἀπέχον τῆς πόλιος εἴκοσι σταδίους· καὶ αὖτις ὀπίσω ἐκ τοῦ ἱροῦ ἀπάγειν μιν τοὺς λύκους ἐς τὠϋτὸ χωρίον.

---

tempus a Rhampsiniti descensu ad reditum, dicebant feriatum esse apud Ægyptios. Idque ego ad meam memoriam scio observatum. Sed utrum ob aliud quid, an ob ista ipsa feriентur Ægyptii, asseverare non possum. Sacerdotes autem pallium postquam uno illo die detexuerunt, uni ex suis oculos mitra alligant: quem gestantem pallium ubi in viam deduxerunt, quæ fert ad Cereris templum, ipsi retro discedunt. Hunc autem sacerdotem oculos obstrictos habentem aiunt a geminis lupis duci ad Cereris templum, quod ab urbe viginti stadia abest: et postea rursus ex templo in eundem locum a lupis reduci.

ρκγʹ. Τοῖσι μέν νυν ὑπ' Αἰγυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι· ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑπόκειται, ὅτι τὰ λεγόμενα ὑπ' ἑκάστων ἀκοῇ γράφω. ἀρχηγετεύειν δὲ τῶν κάτω Αἰγύπτιοι λέγουσι Δήμητρα καὶ Διόνυσον. πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι· τοῦ σώματος δὲ καταφθίνοντος, ἐς ἄλλο ζῶον αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πετεινὰ, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύνειν· τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι· τούτῳ τῷ λόγῳ εἰσὶ οἱ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν, πρότερον, οἱ δὲ, ὕστερον, ὡς ἰδίῳ ἑωϋτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα, οὐ γράφω.

---

123. Hæc quidem ab Ægyptiis relata sic cuique placeant, prout credibilia videntur; mihi autem in omni sermone constitutum est ea scribere, quæ auditu ex singulis cognovi. Inferorum principatum tenere Cererem et Liberum Ægyptii aiunt. Hi denique primi extiterunt qui dicerent, animam hominis esse immortalem; sed exolescente corpore subinde in aliud animal, quod assidue nascitur, immigrare. Atque ubi per omnia se circumtulisset, terrestria, marina, volucria, rursus in hominis corpus, quod gigneretur, introire; atque hunc ab ea circuitum fieri intra annorum tria millia. Hanc rationem sunt e Græcis, qui usurpaverint velut propriam ipsorum, alii prius, alii posterius; quorum ego nomina sciens, non scribo.

ρκδ'. Μέχρι μέν νυν Ῥαμψινίτου βασιλῆος εἶναι ἐν Αἰγύπτῳ πᾶσαν εὐνομίην ἔλεγον, καὶ εὐθηνέειν Αἴγυπτον μεγάλως· μετὰ δὲ τοῦτον, βασιλεύσαντά σφεων Χέοπα, ἐς πᾶσαν κακότητα ἐλάσαι. κατακληΐσαντα γάρ μιν πάντα τὰ ἱρὰ, πρῶτα μέν σφεας θυσιέων ἀπέρξαι· μετὰ δὲ, ἐργάζεσθαι ἑωϋτῷ κελεύειν πάντας Αἰγυπτίους· τοῖσι μὲν δὴ ἀποδεδέχθαι, ἐκ τῶν λιθοτομιέων τῶν ἐν τῷ Ἀραβίῳ οὔρεϊ, ἐκ τουτέων ἕλκειν λίθους μέχρι τοῦ Νείλου· διαπεραιωθέντας δὲ τὸν ποταμὸν πλοίοισι τοὺς λίθους ἑτέροισι ἔταξε ἐκδέκεσθαι, καὶ πρὸς τὸ Λιβυκὸν καλεύμενον ὄρος, πρὸς τοῦτο ἕλκειν. ἐργάζοντο δὲ κατὰ δέκα μυριάδας ἀνθρώπων αἰεὶ τὴν τρίμηνον ἑκάστην· χρόνον δὲ ἐγγενέσθαι τριβομένῳ τῷ λαῷ, δέκα μὲν ἔτεα τῆς ὁδοῦ κατὰ

124. Ad Rhampsinitum usque regem aiebant in Ægypto viguisse sane legum præstantiam et præclare omni copia eam floruisse. Post hunc autem, qui in regno successit, CHEOPEM in omnem pravitatem fuisse prolapsum. Omnibus namque eum templis obseratis, primo Ægyptiis ne sacrificarent interdixisse: deinde jussisse, ut sibi laborarent omnes Ægyptii: aliis assignando, ut ex lapicidinis Arabici montis saxa exciderent, et ad Nilum traherent: aliis, ut transmisso navibus flumine, illa acciperent, et ad montem qui dicitur Libycus traherent. Faciebant autem opus hominum centum millia, ternis semper mensibus singula. Tempus autem, quo populus attritus fuit,

τὴν εἷλκον τοὺς λίθους, τὴν ἔδειμαν· ἔργον ἐὸν οὐ πολλῷ τέῳ ἔλασσον τῆς πυραμίδος, ὡς ἐμοὶ δοκέειν· τῆς μὲν γὰρ μῆκός εἰσι πέντε στάδιοι· εὖρος δὲ, δέκα ὀργυιαί· ὕψος δὲ, τῇ ὑψηλοτάτη ἐστὶ αὐτὴ ἑωϋτῆς, ὀκτὼ ὀργυιαί· λίθου τε ξεστοῦ καὶ ζώων ἐγγεγλυμμένων· ταύτῃ δὲ δὴ τὰ δέκα ἔτεα γενέσθαι καὶ τῶν ἐπὶ τοῦ λόφου, ἐπ' οὗ ἑστᾶσι αἱ πυραμίδες, τῶν ὑπὸ γῆν οἰκημάτων, τὰς ἐποιέετο θήκας ἑωϋτῷ ἐν νήσῳ, διώρυχα τοῦ Νείλου ἐσαγαγών· τῇ δὲ πυραμίδι αὐτῇ χρόνον γενέσθαι εἴκοσι ἔτεα ποιευμένῃ, τῆς ἐστι πανταχῆ μέτωπον ἕκαστον ὀκτὼ πλέθρα, ἐούσης τετραγώνου, καὶ ὕψος ἴσον· λίθου δὲ ξεστοῦ τε καὶ ἁρμοσμένου ταμάλιστα· οὐδεὶς τῶν λίθων τριήκοντα ποδῶν ἐλάσσων.

---

fuisse decennale circa viam, per quam traxerunt saxa, quam struxerunt; opus, ut mihi videtur, non multo minoris molitionis, quam ipsa pyramis. Cujus longitudo est quinque stadiorum; latitudo cubitorum quadraginta; altitudo, ubi altissima ipsa sui est, triginta duo cubitorum, lapide polito et animalibus insculptis. Illi decem annos fuisse insumptos tum illis, quæ in clivo, supra quem pyramides stant, et subterraneis ædibus, quas fecit sibi repositoria in insula, introducens Nili fossam. Verum ipsa pyramide hac facienda annos viginti absumptos: cujus singulæ frontes, nam est formæ quadratæ pari altitudine, sunt octingentorum pedum, saxo dolato accuratissimeque coagmentato, in quo nullum est minus triginta pedum.

ρκε.' Ἐποιήθη δὲ ὧδε αὕτη ἡ πυραμὶς ἀναβαθμῶν τρόπον, τὰς μετεξέτεροι κρώσσας, οἱ δὲ βωμίδας ὀνομάζουσι· τοιαύτην τοπρῶτον ἐπεί τε ἐποίησαν αὐτὴν, ἤειρον τοὺς ἐπιλοίπους λίθους μηχανῆσι ξύλων βραχέων πεποιημένῃσι· χαμάθεν μὲν ἐπὶ τὸν πρῶτον στοῖχον τῶν ἀναβαθμῶν ἀείροντες· ὅκως δὲ ἀνίοι ὁ λίθος ἐπ' αὐτὸν, εἰς ἑτέρην μηχανὴν ἐτίθετο, ἑστεῶσαν ἐπὶ τοῦ πρώτου στοίχου· ἀπὸ τούτου δὲ ἐπὶ τὸν δεύτερον εἵλκετο στοῖχον, ἐπ' ἄλλης μηχανῆς· ὅσοι γὰρ δὴ στοῖχοι ἦσαν τῶν ἀναβαθμῶν, τοσαῦται καὶ μηχαναὶ ἦσαν. εἴτε καὶ τὴν αὐτὴν μηχανὴν ἐοῦσαν μίην τε καὶ εὐβάστακτον μετεφόρεον ἐπὶ στοῖχον ἕκαστον, ὅκως τὸν λίθον ἐξέλοιεν. λελέχθω ἡμῖν ἐπ' ἀμφότερα, κατάπερ λέγεται. ἐξεποιήθη δ' ὦν τὰ ἀνώτατα αὐτῆς πρῶ-

125. Fuit autem sic extructa hæc pyramis in speciem graduum, quas quidam scalas, quidam arulas vocant. Posteaquam eam primo talem fecerant, attolebant reliquos lapides machinis factis e brevibus lignis ab humo in primum ordinem graduum levantes. Ubi ad hunc lapis ascenderat, alteri machinæ imponebatur, quæ in ipso primo ordine stabat. Ab hoc deinde in alterum ordinem trahebatur, super alteram machinam. Nam quot erant ordines graduum, totidem quoque machinæ erant, sive etiam eandem machinam, quæ erat una et facilis ad ferendum, transferebant ad unumquemque ordinem, quoties saxum exemerant. Dictum esto a nobis in utrumque, sicut dicitur.

τα· μετὰ δὲ, τὰ ἑπόμενα τούτων ἐξεποίευν· τελευταῖα δὲ αὐτῆς τὰ ἐπίγαια καὶ τὰ κατωτάτω ἐξεποίησαν. σεσήμανται δὲ διὰ γραμμάτων Αἰγυπτίων ἐν τῇ πυραμίδι, ὅσα ἔς τε συρμαίην καὶ κρόμμυα καὶ σκόροδα ἀναισιμώθη τοῖσι ἐργαζομένοισι· καὶ, ὡς ἐμὲ εὖ μεμνῆσθαι τὰ ὁ ἑρμηνεύς μοι, ἐπιλεγόμενος τὰ γράμματα, ἔφη, ἑξακόσια καὶ χίλια τάλαντα ἀργυρίου τετελέσθαι· εἰ δ' ἔστι οὕτως ἔχοντα ταῦτα, κόσα εἰκὸς ἄλλα δεδαπανῆσθαί ἐστι ἔς τε σίδηρον, τῷ ἐργάζοντο, καὶ σιτία καὶ ἐσθῆτα τοῖσι ἐργαζομένοισι; ὁκότε χρόνον μὲν οἰκοδόμεον τὰ ἔργα τὸν εἰρημένον· ἄλλον δὲ, ὡς ἐγὼ δοκέω, ἐν τῷ τοὺς λίθους ἔταμνον, καὶ ἄγον, καὶ τὸ ὑπὸ γῆν ὄρυγμα ἐργάζοντο οὐκ ὀλίγον χρόνον.

Effecta sunt igitur ita prima ejus quæque altissima: deinde sequentia absolverunt: novissima vero, quæ solo sunt juncta et infima, peregerunt. In ipsa pyramide per litteras Ægyptiacas signatum est, quantum in raphanum, cæpas, et allia erogatum sit operantibus, et quod interpres earum litterarum, postquam legerat, ut probe reminiscor, aiebat in summa mille et sexcenta talenta pecuniæ esse. Quod si ita se habet, quot alia credibile est fuisse consumpta, vel in ferrum, quo operabantur, vel in cibos, vel in vestem operantium? quando per id quod dixi tempus opera extruebant: per aliud, ut ego opinor, lapides exciderunt atque vexerunt, et per aliud non exiguum effecerunt subterraneum cavum.

ρκϛ΄. Ἐς τοῦτο δὲ ἐλθεῖν Χέοπα κακότητος, ὥστε χρημάτων δεόμενον, τὴν θυγατέρα τὴν ἑωϋτοῦ, κατίσαντα ἐπ' οἰκήματος, προστάξαι πρήσσεσθαι ἀργύριον ὁκόσον δή τι· οὐ γὰρ δὴ τοῦτό γε ἔλεγον· τὴν δὲ, τά τε ὑπὸ τοῦ πατρὸς ταχθέντα πρήσσεσθαι· ἰδίῃ δὲ καὶ αὐτὴν διανοηθῆναι μνημήϊον καταλιπέσθαι· καὶ τοῦ ἐσιόντος πρὸς αὐτὴν ἑκάστου δέεσθαι, ὅκως ἂν αὐτῇ ἕνα λίθον ἐν τοῖσι ἔργοισι δωρέοιτο. ἐκ τούτων δὲ τῶν λίθων ἔφασαν τὴν πυραμίδα οἰκοδομηθῆναι, τὴν ἐν μέσῳ τῶν τριῶν ἑστηκυῖαν, ἔμπροσθεν τῆς μεγάλης πυραμίδος· τῆς ἐστὶ τὸ κῶλον ἕκαστον, ὅλου καὶ ἡμίσεος πλέθρου.

ρκζ΄. Βασιλεῦσαι δὲ τὸν Χέοπα τοῦτον Αἰγύπτιοι ἔλεγον πεντήκοντα ἔτεα. τελευτήσαν-

126. Quin et eo flagitii venisse Cheopem, ut pecunia defectus, filiam suam in lupanari prostituerit, imperans quantumcunque faceret quæstum; non enim dicebant quantum: eamque cum patris jussa fecisse, tum vero privatim de relinquendo monumento cogitasse; itaque singulos ad se intrantes orasse, ut sibi ad opera singulos lapides donarent. Ex his lapidibus aiebant extructam fuisse pyramidem, quæ stat in medio trium, ante pyramidem magnam, cujus unumquodque latus centum et quinquaginta est pedum.

127. Quinquaginta annos regnasse hunc Cheopem Ægyptii dicebant: eoque defuncto excepisse regnum fratrem ejus CHEPHRENEM: et hunc eodem

τος δὲ τούτου, ἐκδέξασθαι τὴν βασιληΐην τὸν ἀδελφεὸν αὐτοῦ Χεφρῆνα. καὶ τοῦτον δὲ τῷ αὐτῷ τρόπῳ διαχρεέεσθαι τῷ ἑτέρῳ· τά τε ἄλλα, καὶ πυραμίδα ποιῆσαι, ἐς μὲν τὰ ἐκείνου μέτρα οὐκ ἀνήκουσαν. ταῦτα γὰρ ὦν καὶ ἡμεῖς ἐμετρήσαμεν· οὔτε γὰρ ὕπεστι οἰκήματα ὑπὸ γῆν, οὔτε ἐκ τοῦ Νείλου διώρυξ ἥκει ἐς αὐτὴν, ὥσπερ ἐς τὴν ἑτέρην, ῥέουσα· διοικοδομημένου δὲ αὐλῶνος ἔσω νῆσον περιῤῥέει, ἐν τῇ αὐτὸν λέγουσι κεῖσθαι Χέοπα. ὑποδείμας δὲ τὸν πρῶτον δόμον λίθου Αἰθιοπικοῦ ποικίλου, τεσσεράκοντα πόδας ὑποβὰς, τῆς ἑτέρης τὠϋτὸ μέγαθος, ἐχομένην τῆς μεγάλης οἰκοδομῆς· ἑστᾶσι δὲ ἐπὶ λόφου τοῦ αὐτοῦ ἀμφότεραι, μάλιστα ἐς ἑκατὸν πόδας ὑψηλοῦ. βασιλεῦσαι δὲ ἔλεγον Χεφρῆνα ἓξ καὶ πεντήκοντα ἔτεα.

---

alteri instituto usum cum in aliis, tum vero in facienda pyramide, non tamen quæ ad mensuram fraternæ accederet; eas namque et nos sumus dimensi. Nam subterranea non subsunt conclavia, neque fossa derivatur, in eam ex Nilo, quemadmodum in alteram, fluens; sed extructo canali introrsum insulam circumluit, in qua situm esse ipsum Cheopem aiunt. Sed quum primam compagem ex Æthiopico lapide versicolore struxisset, quadraginta pedes degressus, alterius eandem magnitudinem, contiguam magnæ fabricæ. Stant autem ambæ super eundem tumulum, centum fere pedes celsum. Porro quinquaginta sex annos regnasse Chephrenem aiebant.

ρκη΄. Ταῦτα ἕξ τε καὶ ἑκατὸν λογίζονται ἔτεα, ἐν τοῖσι Αἰγυπτίοισί τε πᾶσαν εἶναι κακότητα, καὶ τὰ ἱρὰ χρόνου τοσούτου κατακληϊσθέντα οὐκ ἀνοιχθῆναι. τούτους ὑπὸ μίσεος οὐ κάρτα θέλουσι Αἰγύπτιοι ὀνομάζειν, ἀλλὰ καὶ τὰς πυραμίδας καλέουσι ποιμένος Φιλίτιος, ὃς τοῦτον τὸν χρόνον ἔνεμε κτήνεα κατὰ ταῦτα τὰ χωρία.

ρκθ΄. Μετὰ δὲ τοῦτον, βασιλεῦσαι Αἰγύπτου Μυκερῖνον ἔλεγον, Χέοπος παῖδα· τῷ τὰ μὲν τοῦ πατρὸς ἔργα ἀπαδεῖν· τὸν δὲ τά τε ἱρὰ ἀνοῖξαι, καὶ τὸν λεὼν τετρυμένον ἐς τὸ ἔσχατον κακοῦ, ἀνεῖναι πρὸς ἔργα τε καὶ θυσίας. δίκας δέ σφι πάντων βασιλήων δικαιοτάτας κρίνειν. κατὰ τοῦτο μέν νυν τὸ ἔργον, ἁπάντων ὅσοι ἤδη βασιλῆες ἐγένοντο Αἰγυ-

---

128. Hi centum et sex anni supputantur, quibus Ægyptii in omni pravitate versati sunt, et templa tanto tempore occlusa non licuit aperiri. Hos reges Ægyptii præ odio ne nominare quidem volunt, sed eorum pyramidas vocant pastoris Philitidis, qui ea tempestate pecudes per hæc loca pascebat.

129. Post hunc regnasse in Ægypto dicebant MYCERINUM Cheopis filium, eumque paterna perosum facta, et templa reserasse, et populo ad ultimum calamitatis afflicto dedisse veniam eundi ad opera et sacrificia: quinetiam super omnes reges justitiam ipsis exercuisse. Quo nomine ex universis regibus hunc Ægyptii maxime prædicant, tum ob alia, quæ bene judica-

πτίων, αἰνέουσι μάλιστα τοῦτον· τά τε ἄλλα γάρ μιν κρίνειν εὖ, καὶ δὴ καὶ τῷ ἐπιμεμφομένῳ ἐκ τῆς δίκης παρ' ἑωϋτοῦ διδόντα ἄλλα, ἀποπιμπλάναι αὐτοῦ τὸν θυμόν. ἐόντι δὲ ἠπίῳ τῷ Μυκερίνῳ κατὰ τοὺς πολιήτας, καὶ ταῦτα ἐπιτηδεύοντι, πρῶτον κακῶν ἄρξαι τὴν θυγατέρα ἀποθανοῦσαν αὐτοῦ, τὴν μοῦνόν οἱ εἶναι ἐν τοῖσι οἰκίοισι τέκνον· τὸν δὲ, ὑπεραλγήσαντά τε τῷ περιεπεπτώκεε πρήγματι, καὶ βουλόμενον περισσότερόν τι τῶν ἄλλων θάψαι τὴν θυγατέρα, ποιήσασθαι βοῦν ξυλίνην κοίλην, καὶ ἔπειτα καταχρυσώσαντά μιν ταύτην, ἔσω ἐν αὐτῇ θάψαι ταύτην δὴ τὴν ἀποθανοῦσαν θυγατέρα.

ρλ'. Αὕτη ὦν ἡ βοῦς γῇ οὐκ ἐκρύφθη, ἀλλ' ἔτι καὶ ἐς ἐμὲ ἦν φανερή· ἐν Σάϊ μὲν πόλι ἐοῦσα, κειμένη δὲ ἐν τοῖσι βασιληΐοισι, ἐν οἰ-

---

bat, tum vero quod conquerenti de ipsius sententia, de suo donans indignationi hominis fatisfecerit. Quum autem esset in cives clemens Mycerinus, atque ita ageret, principium ei malorum contigisse obitum filiæ, quæ domi unica suboles erat. Qua clade supra modum quum doleret, velletque filiam excellentiori aliquo genere sepelire quam ceteri, fecisse ligneam bovem cavam, quam quum inaurasset, in ea filiam istam defunctam sepelisse.

130. Neque humo bos hæc condita est, sed ad meam usque memoriam erat conspicua, in urbe Sai, in regia, in conclavi exornato posita. Cui singulis diebus omnigenæ odores ado-

κήματι ἠσκημένῳ· θυμιήματα δὲ παρ' αὐτῇ παντοῖα καταγίζουσι ἀνὰ πᾶσαν ἡμέρην· νύκτα δὲ ἑκάστην πάννυχος λύχνος παρακαίεται· ἀγχοῦ δὲ τῆς βοὸς ταύτης ἐν ἄλλῳ οἰκήματι εἰκόνες τῶν παλλακέων τῶν Μυκερίνου ἑστᾶσι, ὡς ἔλεγον οἱ ἐν Σάϊ πόλι ἱρέες· ἑστᾶσι μὲν γὰρ ξύλινοι κολοσσοὶ, ἐοῦσαι ἀριθμὸν ὡς εἴκοσι μάλιστά κῃ, γυμναὶ ἐργασμέναι· αἵ τινες μέντοι εἰσὶ, οὐκ ἔχω εἰπεῖν, πλὴν ἢ τὰ λεγόμενα.

ρλα'. Οἱ δὲ τινες λέγουσι περὶ τῆς βοὸς ταύτης, και τῶν κολοσσῶν, τόνδε τὸν λόγον. ὡς Μυκερῖνος ἠράσθη τῆς ἑωϋτοῦ θυγατρὸς, καὶ ἔπειτα ἐμίγη οἱ ἀεκούσῃ· μετὰ δὲ, λέγουσι ὡς ἡ παῖς ἀπήγξατο ὑπὸ ἄχεος· ὁ δέ μιν ἔθαψε ἐν τῇ βοῒ ταύτῃ· ἡ δὲ μήτηρ αὐτῆς τῶν ἀμφιπόλων τῶν προδουσέων τὴν θυγα-

---

lentur; noctibus autem singulis pernox incensa lucerna astat. In altero conclavi prope illam bovem imagines stant concubinarum Mycerini, ut in urbe Sai sacerdotes aiebant. Stant enim colossi lignei, numero circiter viginti, nudi facti: qui quarum sint mulierum, non possum dicere, præterquam quæ narrantur

131. Sunt qui de hac bove et colossis hæc referant: Mycerinum amore filiæ suæ captum, vim ei invitæ intulisse; deinde illam quum præ mœrore se strangulavisset, patrem in hac bove sepelisse; matrem autem manus ministrarum, quæ filiam patri prodidissent, præcidisse: et nunc earum hæc simulacra

τέρα τῷ πατρὶ ἀπέταμε τὰς χεῖρας· καὶ νῦν τὰς εἰκόνας αὐτέων εἶναι πεπονθυίας τάπερ αἱ ζωαὶ ἔπαθον. ταῦτα δὴ λέγουσι φλυηρέοντες, ὡς ἐγὼ δοκέω, τά τε ἄλλα, καὶ δὴ καὶ τὰ περὶ τὰς χεῖρας τῶν κολοσσῶν· ταῦτα γὰρ ὦν καὶ ἡμεῖς ὠρέομεν, ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεβλήκασι, αἳ ἐν ποσὶ αὐτέων ἐφαίνοντο ἐοῦσαι ἔτι καὶ ἐς ἐμέ.

ρλβ΄. Ἡ δὲ βοῦς τὰ μὲν ἄλλα κατακέκρυπται φοινικέῳ εἵματι· τὸν αὐχένα δὲ καὶ τὴν κεφαλὴν φαίνει κεχρυσωμένα παχέϊ κάρτα χρυσῷ· μεταξὺ δὲ τῶν κερέων, ὁ τοῦ ἡλίου κύκλος μεμιμημένος ἔπεστι χρύσεος. ἔστι δὲ ἡ βοῦς οὐκ ὀρθὴ, ἀλλ' ἐν γούνασι κειμένη· μέγαθος δὲ ὅσηπερ μεγάλη βοῦς ζωή. ἐκφέρεται δὲ ἐκ τοῦ οἰκήματος ἀνὰ πάντα τὰ ἔτεα· ἐπεὰν τύπτωνται οἱ Αἰ-

---

passa esse id malum quod vivæ sustinuerant. Hæc, ut ego opinor, dicunt nugantes, ut alia, ita et de manibus colossorum: quippe quas ipsi videbamus temporis diuturnitate delapsas, quæ, ad me usque, ad pedes eorum stratæ visebantur.

132. Bos quoque cum ceterum corpus operta est purpureo pallio, tum vero cervicem et caput crasso admodum inducta auro: et inter media cornua solis circulus ad similitudinem factus adest aureus. Neque erecta est bos, sed ingeniculata, magnitudine quanta est grandis vacca viva. Effertur autem e conclavi quotannis. Quando Ægyptii semet verberant propter

γύπτιοι τὸν οὐκ ὀνομαζόμενον θεὸν ὑπ᾽ ἐμεῦ ἐπὶ τοιούτῳ πρήγματι, τότε ὦν καὶ τὴν βοῦν ἐκφέρουσι ἐς τὸ φῶς· φασὶ γὰρ δὴ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀποθνήσκουσαν, ἐν τῷ ἐνιαυτῷ ἅπαξ μιν τὸν ἥλιον κατιδεῖν.

ρλγ´. Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος, δεύτερα τούτῳ τῷ βασιλέϊ τάδε γενέσθαι. ἐλθεῖν οἱ μαντήϊον ἐκ Βουτοῦς πόλιος, ὡς μέλλοι ἓξ ἔτεα μοῦνον βιοὺς, τῷ ἑβδόμῳ τελευτήσειν· τὸν δέ, δεινὸν ποιήσαμενον, πέμψαι ἐς τὸ μαντήϊον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενον ὅτι ὁ μὲν αὐτοῦ πατὴρ καὶ πάτρως, ἀποκληΐσαντες τὰ ἱρὰ, καὶ θεῶν οὐ μεμνημένοι, ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλόν· αὐτὸς δ᾽ εὐσεβὴς ἐὼν, μέλλοι ταχέως οὕτω τελευτήσειν. ἐκ δὲ

---

deum quendam, in tali negotio non mihi nominandum, tunc et bovem in lucem proferunt. Aiunt enim eam morientem orasse patrem Mycerinum, ut quotannis semel sol eam intueretur.

133. Huic regi, post calamitatem filiæ, istud secundum accidisse: ex urbe Buto venisse ipsi oraculum, fore ut sex omnino annos viveret, septimo defuncturus. Id hunc ægre ferentem, vicissim misisse ad oraculum contumeliosas deo querimonias, exprobrantem, quod, quum pater suus et patruus, qui et templa claudi jusserant et deos non curaverant, hominesque perdiderant, diu vixissent, ipse pietatem colens tam cito foret moriturus. Ei venisse altera ex oraculo responsa, ea propter

τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα, τούτων εἵνεκα καὶ συνταχύνειν αὐτῷ τὸν βίον· οὐ γὰρ ποιῆσαί μιν τὸ χρέων ἦν ποιέειν· δεῖν γὰρ Αἴγυπτον κακοῦσθαι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν· καὶ τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας, μαθεῖν τοῦτο, κεῖνον δὲ οὔ. ταῦτα ἀκούσαντα τὸν Μυκερῖνον, ὡς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενον πολλὰ, ὅκως γίνοιτο νὺξ, ἀνάψαντα αὐτὰ, πίνειν τε καὶ εὐπαθέειν, οὔτε ἡμέρης, οὔτε νυκτὸς ἀνιέντα, ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανώμενον, καὶ ἵνα πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδεώτατα. ταῦτα δὲ ἐμηχανᾶτο, θέλων τὸ μαντήϊον ψευδόμενον ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντὶ ἓξ ἐτέων γένηται, αἱ νύκτες ἡμέραι ποιεύμεναι.

---

ipsum propere vitam finiturum, quod non id faceret quod deberet. Oportuisse enim Ægyptum centum quinquaginta annis affligi: idque duos, qui ante eum fuissent, reges didicisse, ipsum vero nequaquam. Hæc ubi accepit Mycerinus, se jam a numinibus damnatum, lucernas fecisse permultas, quibus quum noctesceret accensis, potaret ac se oblectaret; neque die neque noctu intermittens per paludes perque nemora vagari, et ubi cognosceret voluptaria diverticula esse aptissima. Hæc autem idcirco excogitarat, quod vellet oraculum convincere mendacii, ut duodecim pro sex fierent anni, diebus factis ex noctibus.

ρλδʹ. Πυραμίδα δὲ καὶ οὗτος ἀπελίπετο πολλὸν ἐλάσσω τοῦ πατρὸς ἔικοσι ποδῶν καταδέουσαν, κῶλον ἕκαστον τριῶν πλέθρων, ἐούσης τετραγώνου· λίθου δὲ ἐς τὸ ἥμισυ Αἰθιοπικοῦ· τὴν δὴ μετεξέτεροί φασι Ἑλλήνων Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες· οὐδὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι ἥτις ἦν ἡ Ῥοδῶπις. οὐ γάρ οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην, ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι, ὡς λόγῳ εἰπεῖν, ἀναισίμωνται· πρὸς δὲ, ὅτι κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ τοῦτον· ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τουτέων τῶν βασιλήων τῶν τὰς πυραμίδας ταύτας λιπόντων, ἦν Ῥοδῶπις· γενεὴν μὲν, ἀπὸ Θρηΐκης· δούλη δὲ ἦν

---

134. Pyramidem et hic reliquit longe minorem paterna, vicenis pedibus breviorem, omni latere trecentorum pedum et quadrangularem, Æthiopico ex lapide ad medium usque. Hanc quidam Græcorum volunt esse Rhodopis mulieris meretricis, non recte sentientes: qui ne nosse quidem mihi videntur quænam fuerit Rhodopis de qua loquuntur. Neque enim talis pyramidis structuram ad illam retulissent, in qua talentorum infinita, ut ita dicam, millia consumpta sunt. Ad hæc, non istius sed Amasis regis temporibus Rhodopis floruit. Multis enim post hos reges, qui istas pyramides reliquerunt, annis Rhodopis extitit, genere Thracia, ancilla Iadmonis, cui pater

Ἰάδμονος τοῦ Ἡφαιστοπόλιος, ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ. καὶ γὰρ οὗτος Ἰάδμονος ἐγένετο, ὡς διέδεξε τῇδε οὐκ ἥκιστα· ἐπεί τε γὰρ πολλάκις κηρυσσόντων Δελφῶν ἐκ θεοπροπίου, ὃς βούλοιτο ποινὴν τῆς Αἰσώπου ψυχῆς ἀνελέσθαι, ἄλλος μὲν οὐδεὶς ἐφάνη, Ἰάδμονος δὲ παιδὸς παῖς ἄλλος Ἰάδμων ἀνείλετο· οὕτω καὶ Αἴσωπος Ἰάδμονος ἐγένετο·

ρλε΄. Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο, Ξάνθεω τοῦ Σαμίου κομίσαντος. ἀπικομένη δὲ κατ' ἐργασίην, ἐλύθη χρημάτων μεγάλων ὑπ' ἀνδρὸς Μιτυληναίου Χαράξου, τοῦ Σκαμανδρωνύμου παιδὸς, ἀδελφεοῦ δὲ Σαπφους τῆς μουσοποιοῦ· οὕτω δὴ ἡ Ῥοδῶπις ἐλευθερώθη, καὶ κατέμεινέ τε ἐν Αἰγύπτῳ, καὶ κάρτα ἐπαφρόδιτος γενομένη, μεγάλα ἐκτήσατο χρή-

---

Hephæstopolis, viri Samii, conserva Æsopi fabularum scriptoris; nam et hic Iadmonis fuit, ut non minime hinc demonstravit: siquidem quum sæpenumero Delphi ex oraculo pronunciarent, siquis sumere pœnas vellet animæ Æsopi, alius nullus extitit, sed Iadmonis ex filio nepos, alius Iadmon sumsit; ita et Æsopus Iadmonis fuit.

135. Rhodopis autem in Ægyptum abiit, a Xantho Samio transportata. Et quum eo ad quæstum faciendum venisset, magnis pecuniis fuit redempta a viro Mitylenæo, Charaxo Scamandronymi filio, Sapphus poëtriæ fratre. Hunc in modum Rhodopis libertatem nacta est, et in Ægypto remansit; et venusta vehementer ingentes opes

ματα, ὡς ἂν εἶναι Ῥοδώπιος, ἀτὰρ οὐκ ὥς γε ἐς πυραμίδα τοιαύτην ἐξικέσθαι· τῆς γὰρ τὴν δεκάτην τῶν χρημάτων ἰδέσθαι ἐστὶ ἔτι καὶ ἐς τόδε παντὶ τῷ βουλομένῳ, οὐδὲν δεῖ μεγάλα οἱ χρήματα ἀναθεῖναι· ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήϊον ἑωϋτῆς ἐν τῇ Ἑλλάδι καταλιπέσθαι, ποίημα ποιησαμένη τοῦτο, τὸ μὴ τυγχάνει ἄλλῳ ἐξευρημένον καὶ ἀνακείμενον ἐν ἱρῷ, τουτο ἀναθεῖναι ἐς Δελφοὺς μνημόσυνον ἑωϋτῆς. τῆς ὦν δεκάτης τῶν χρημάτων ποιησαμένη ὀβελοὺς βουπόρους πολλοὺς σιδηρέους, ὅσον ἐνεχώρεε ἡ δεκάτη οἱ, ἀπέπεμπε ἐς Δελφούς· οἵ καὶ νῦν ἔτι συννενέαται, ὄπισθε μὲν τοῦ βωμοῦ, τὸν Χῖοι ἀνέθεσαν, ἀντίον δὲ αὐτοῦ τοῦ νηοῦ. φιλέουσι δὲ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι γίνεσθαι αἱ ἑταῖραι· τοῦτο μὲν

---

comparavit, ut esset Rhodopis, sed non quæ ad talem pyramidem ascenderet. Cujus enim opum decimam partem cuicunque volenti etiam nunc cognoscere licet, magnam illi pecuniam attribuere nihil oportet. Quum enim Rhodopis illa optaret memoriam sui in Græcia relinquere, faciendo opere, quod ab alio excogitatum non est, neque in templo dedicatum, id dedicavit in templo Delphico monumentum sui. E decima igitur suarum opum parte quum multa e ferro verua ad boves transfigendos fecisset, quantum sufficeret decima ipsi, Delphos misit: quæ nunc quoque posita sunt e regione templi, post aram, quam Chii donaverunt. Solent autem quodammodo in

γὰρ αὕτη, τῆς πέρι λέγεται ὅδε ὁ λόγος, οὕτω δή τι κλεινὴ ἐγένετο, ὡς καὶ πάντες οἱ Ἕλληνες Ῥοδώπιος τοὔνομα ἐξέμαθον· τοῦτο δὲ, ὕστερον ταύτης, τῇ οὔνομα ἦν Ἀρχιδίκη, ἀοίδιμος ἀνὰ τὴν Ἑλλάδα ἐγένετο, ἧσσον δὲ τῆς ἑτέρης περιλεσχήνευτος. Χάραξος δὲ ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε ἐς Μιτυλήνην, ἐν μέλεϊ Σαπφὼ πολλὰ κατεκερτόμησέ μιν. Ῥοδώπιος μὲν νυν πέρι πέπαυμαι.

ρλϛ΄. Μετὰ δε Μυκερῖνον γενέσθαι Αἰγύπτου βασιλέα ἔλεγον οἱ ἱρέες Ἄσυχιν, τὸν τὰ πρὸς ἥλιον ἀνίσχοντα ποιῆσαι τῷ Ἡφαίστῳ προπύλαια, ἐόντα πολλῷ τε κάλλιστα καὶ πολλῷ μέγιστα· ἔχει μὲν γὰρ καὶ τὰ πάντα προπύλαια τύπους τε εὖ γεγλυμμένους, καὶ ἄλλην ὄψιν οἰκοδομημάτων μυρίην, ἐκεῖνα

Naucrati prostibula esse venusta; nam et hæc, de qua nunc mentionem habeo, partim nobilitata est fama, ut nemo Græcorum non edidicerit Rhodopis nomen: partim alterius, quæ posterior fuit, nomine Archidicæ fama per Græciam celebris extitit, sed minus quam prior in circulis garrientium jactata. Charaxus vero postquam cum redemta Rhodopi Mitylenen rediit, in carminibus crebro Sappho conviciis eum fuit insectata; at de Rhodope quidem hactenus.

136. Post Mycerinum autem Ægypti regem fuisse dicebant sacerdotes ASYCHIN, eumque fecisse Vulcano antefores ad solem orientem, longe pulcherrimas longeque maximas. Habere-

δὲ καὶ μακρῷ μάλιστα· ἐπὶ τούτου βασιλεύοντος, ἔλεγον ἀμιξίης ἐούσης πολλῆς χρημάτων, γενέσθαι νόμον Αἰγυπτίοισι, ἀποδεικνύντα ἐνέχυρον τοῦ πατρὸς τὸν νέκυν, οὕτω λαμβάνειν τὸ χρέος· προστεθῆναι δὲ ἔτι τούτῳ τῷ νόμῳ τόνδε, τὸν διδόντα τὸ χρέος, καὶ ἁπάσης κρατέειν τῆς τοῦ λαμβάνοντος θήκης· τῷ δὲ ὑποτιθέντι τοῦτο τὸ ἐνέχυρον τήνδε ἐπεῖναι ζημίην, μὴ βουλομένῳ ἀποδοῦναι τὸ χρέος, μηδὲ αὐτῷ ἐκείνῳ τελευτήσαντι εἶναι ταφῆς κυρῆσαι μήτ' ἐν ἐκείνῳ τῷ πατρῴῳ τάφῳ, μήτ' ἐν ἄλλῳ μηδενὶ, μήτ' ἄλλον μηδένα τῶν ἑωϋτοῦ ἀπογενόμενον θάψαι· ὑπερβαλέσθαι δὲ βουλόμενον τοῦτον τὸν βασιλέα τοὺς πρότερον ἑωϋτοῦ βασιλέας γενομένους Αἰγύπτου, μνημόσυνον πυραμίδα

---

enim illas ubique cum figuras concinne sculptas, tum alium infinitum ædificiorum conspectum; has vero etiam multo maxime. Sub hoc rege fuisse factum dicunt, ut quum vehementer laboraretur inopia pecuniæ, et hinc abstinentia esset a commerciis, lex Ægyptiis promulgata fuerit, ut ita demum quis pecuniam mutuam acciperet, si cadaver patris pignori traderet. Hoc item ad hanc legem adjectum fuisse, ut penes creditorem esset potestas omnis sepulcri debitoris, utque hæc irrogaretur mulcta pignus illud supponenti, si dissolvere æs alienum recusaret, fas ne esset illi ipsi sepeliri aut in isto paterno aut ullo in alio sepulcro: ac ne alium quemquam e suis mortuum sepeliret. Hunc præterea regem superiores ipso reges Æ-

λιπέσθαι ἐκ πλίνθων ποιήσαντα· ἐν τῇ γράμματα ἐν λίθῳ ἐγκεκολαμμένα τάδε λέγοντά ἐστι, ΜΗ ΜΕ ΚΑΤΟΝΟΣΘΗιΣ ΠΡΟΣ ΤΑΣ ΛΙΘΙΝΑΣ ΠΥΡΑΜΙΔΑΣ· ΠΡΟΕΧΩ ΓΑΡ ΑΥΤΕΩΝ ΤΟΣΟΥΤΟΝ, ΟΣΟΝ Ὁ ΖΕΥΣ ΤΩΝ ΑΛΛΩΝ ΘΕΩΝ· ΚΟΝΤΩι ΓΑΡ ΥΠΟΤΥΠΤΟΝΤΕΣ ΕΣ ΛΙΜΝΗΝ, Ὅ, ΤΙ ΠΡΟΣΧΟΙΤΟ ΤΟΥ ΠΗΛΟΥ ΤΩι ΚΟΝΤΩι, ΤΟΥΤΟ ΣΥΛΛΕΓΟΝΤΕΣ, ΠΛΙΝΘΟΥΣ ΕΙΡΥΣΑΝ· ΚΑΙ ΜΕ ΤΡΟΠΩι ΤΟΙΟΥΤΩι ΕΞΕΠΟΙΗΣΑΝ. τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι.

ρλζ′. Μετὰ δὲ τοῦτον, βασιλεῦσαι ἄνδρα τυφλὸν ἐξ Ἀνύσιος πόλιος, τῷ οὔνομα Ἄνυσιν εἶναι· ἐπὶ τούτου βασιλεύοντος, ἐλάσαι ἐπ' Αἴγυπτον χειρὶ πολλῇ Αἰθίοπάς τε καὶ Σαβακῶν τῶν Αἰθιόπων βασιλέα· τὸν μὲν δὴ τυφλὸν τοῦτον οἴχεσθαι φεύγοντα ἐς τὰ ἕλεα· τὸν δὲ Αἰθίοπα βασιλεύειν Αἰγύπτου ἐπ' ἔτεα πεντή-

---

gypti antecellendi cupidum, reliquisse memoriam sui pyramidem latericiam, incisis saxo litteris in hæc verba; NE ME AD SAXEAS PYRAMIDES EXIGENDO DIMINUERIS, QUÆ TANTUM ILLIS PRÆCELLO, QUANTUM JUPITER CETERIS DIIS. NAM FUNDUM LACUS CONTO VERBERANTES, QUICQUID LUTI CONTO ADHÆRESCEBAT, ID COLLIGENTES, LATERES DUXERUNT, ET ME ISTO MODO ELABORARUNT; atque ista opera hunc regem edidisse.

137. Post hunc regnasse cœcum quendam ex urbe Anysi, nomine ANYSIN: atque eo regnante, excurrisse in Ægyptum magna cum manu Æthiopas et SABACUM Æthiopum regem; et quum cœcus hic fuga se in

κοντα· ἐν τοῖσι αὐτὸν τάδε ἀποδέξασθαι· ὅκως τῶν τις Αἰγυπτίων ἁμάρτοι τι, κτείνειν μὲν αὐτῶν οὐδένα ἐθέλειν· τὸν δὲ, κατὰ μέγαθος τοῦ ἀδικήματος ἑκάστῳ δικάζειν, ἐπιτάσσοντα χώματα χοῦν πρὸς τῇ ἑωϋτῶν πόλι, ὅθεν ἕκαστος ἦν τῶν ἀδικεόντων· καὶ οὕτω ἔτι αἱ πόλιες ἐγένοντο ὑψηλότεραι. τὸ μὲν γὰρ πρῶτον, ἐχώσθησαν ὑπὸ τῶν τὰς διώρυχας ὀρυξάντων, ἐπὶ Σεσώστριος βασιλέος· δεύτερα δὲ, ἐπὶ τοῦ Αἰθίοπος καὶ κάρτα ὑψηλαὶ ἐγένοντο· ὑψηλέων δὲ καὶ ἑτέρων τασσομένων ἐν τῇ Αἰγύπτῳ πολίων, ὡς ἐμοὶ δοκέει, μάλιστα μὲν Βουβάστι πόλι ἐξεχώσθη, ἐν τῇ καὶ ἱρόν ἐστι Βουβάστιος ἀξιαπηγητότατον· μέζω μὲν γὰρ ἄλλα, καὶ πολυδαπανώτερά ἐστι ἱρά· ἡδονῇ δ' ἰδέσθαι οὐδὲν τούτου μᾶλλον· ἡ δὲ Βού-

palustria proripuisset, illum Æthiopem regnasse in Ægypto quinquaginta annos; idque intra tempus ista edidisse: quoties Ægyptiorum quisquam aliquid deliquisset, neminem voluisse morte afficere : sed pro sui quemque delicti magnitudine, damnare ad aggerendum aggerem ad urbem, unde quisque delinquentium erat. Atque ita urbes sunt adhuc sublimiores effectæ; nam primum aggestæ fuerant sub rege Sesostre ab iis, qui canales effoderunt: iterum sub rege Æthiope etiam valde sunt factæ excelsæ, cum ceteræ, quæ in Ægypto sunt, tum vero, ut mihi videtur, Bubasti urbi præcipue quidem adaggeratum est: in qua urbe templum est Bubastis dignissimum memoratu. Quo etsi alia sunt tum grandiora, tum sumptuosiora,

βαστις, κατ' Ἑλλάδα γλῶσσάν ἐστι Ἄρτεμις.

ρλη'. Τὸ δε ἱρὸν αὐτῆς ὧδε ἔχει· πλὴν τῆς ἐσόδου, τὸ ἄλλο νῆσός ἐστι· ἐκ γὰρ τοῦ Νείλου διώρυχες ἐσέχουσι, οὐ συμμίσγουσαι ἀλλήλῃσι, ἀλλ' ἄχρι τῆς ἐσόδου τοῦ ἱροῦ ἑκατέρη ἐσέχει· ἡ μὲν, τῇ περιῤῥέουσα, ἡ δὲ, τῇ· εὖρος ἐοῦσα ἑκατέρη ἑκατὸν ποδῶν, δένδρεσι κατάσκιος. τὰ δὲ προπύλαια, ὕψος μὲν δέκα ὀργυιέων ἐστὶ, τύποισι δὲ ἑξαπήχεσι ἐσκευάδαται ἀξίοισι λόγου· ἐὸν δ' ἐν μέσῃ τῇ πόλι τὸ ἱρὸν, κατορᾶται πάντοθεν περιϊόντι· ἅτε γὰρ τῆς πόλιος μὲν ἐκκεχωσμένης ὑψοῦ, τοῦ δε ἱροῦ οὐ κεκινημένου, ὡς ἀρχῆθεν ἐποιήθη, ἔσοπτόν ἐστι· περιθέει δ' αὐτὸ αἱμασιὴ ἐγγεγλυμμένη τύποισι. ἔστι δ' ἔσωθεν ἄλσος δενδρέων μεγίστων πεφυτευμένων περὶ νηὸν μέγαν, ἐν

---

nullum tamen est aspectu jucundius. Bubastis autem in sermone Græco est Artemis, *Diana.*

138. Templum ejus ita habet: cetera præter accessum insula est: nam e Nilo fluenta insinuant, nec confluunt, sed ad ingressum usque fani utrumque immittitur, alterum hac circumfluens, alterum illac, centum in unoquoque pedum latitudine, arboribus inumbrata. Ejus antefores, quadraginta cubita sublimes, figuris senum cubitorum memoratu dignis adornantur. Id templum in media urbe situm, undique circumeuntium oculis subjicitur; nam quum urbs sit in altum aggerata, templum non motum, sicut fuit a principio conditum, patet conspectui. Illud maceria figuris insculpta

τῷ δὴ τὤγαλμα ἔνι· εὖρος δὲ καὶ μῆκος τοῦ ἱροῦ, πάντη σταδίου ἐστί. κατὰ μὲν δὴ τὴν ἔσοδον, ἐστρωμένη ἐστὶ ὁδὸς λίθου ἐπὶ σταδίους τρεῖς μάλιστά κη, διὰ τῆς ἀγορῆς φέρουσα ἐς τὸ πρὸς ἠῶ· εὖρος δὲ, ὡς τεσσέρων πλέθρων· τῆ δὲ καὶ τῆ τῆς ὁδοῦ, δένδρεα οὐρανομήκεα πέφυκε· φέρει δ' ἐς Ἑρμέω ἱρον· τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω ἔχει.

ρλθ'. Τέλος δὲ τῆς ἀπαλλαγῆς τοῦ Αἰθίοπος ὧδε ἔλεγον γενέσθαι· ὄψιν ἐν τῷ ὕπνῳ τοιήνδε ἰδόντα αὐτὸν, οἴχεσθαι φεύγοντα· ἐδόκεέ οἱ ἄνδρα ἐπιστάντα, συμβουλεύειν τοὺς ἱρέας τοὺς ἐν Αἰγύπτῳ συλλέξαντα πάντας, μέσους διαταμέειν· ἰδόντα δὲ τὴν ὄψιν ταύτην λέγειν αὐτὸν, ὡς πρόφασίν οἱ δοκέοι ταύτην τοὺς θεοὺς προδεικνύναι, ἵνα ἀσεβήσας περὶ

---

ambit. Intus, ingens maximarum arborum manu consitarum lucus ambit templum, in quo statua est. Latitudo et longitudo templi quoquoversus est stadii. Ad ejus ingressum via strata lapide est, tria circiter stadia, quæ fert per forum orientem versus quadringentorum pedum latitudinis, utrinque arboribus consitis in cœlum euntibus; et fert ad Mercurii templum. Atque hunc quidem in modum templum habet.

139. Verum se ita ad extremum liberatos Æthiope referebant, quod ille, per quietem oblata sibi visione, fugæ se mandaverit. Visus est sibi videre quendam subito oblatum, qui suaderet ipsi ut congregatos cunctos Ægypti sacerdotes dissecaret medios. Hac eum visione conspecta dixisse, videri sibi deos de-

τὰ ἱρὰ, κακόν τι πρὸς θεῶν ἢ πρὸς ἀνθρώπων λάβοι· οὔκων ποιήσειν ταῦτα· ἀλλὰ γάρ οἱ ἐξεληλυθέναι τὸν χρόνον, ὁκόσον κεχρῆσθαι ἄρξαντα Αἰγύπτου ἐκχωρήσειν· ἐν γὰρ τῇ Αἰθιοπίῃ ἐόντι αὐτῷ τὰ μαντήϊα, τοῖσι χρέονται Αἰθίοπες, ἀνεῖλε, ὡς δέοι αὐτὸν Αἰγύπτου βασιλεῦσαι ἔτεα πεντήκοντα. ὡς ὦν ὁ χρόνος οὗτος ἐξήϊε, καὶ αὐτὸν ἡ ὄψις τοῦ ἐνυπνίου ἐπετάρασσε, ἑκὼν ἀπαλλάσσεται ἐκ τῆς Αἰγύπτου ὁ Σαβακῶς.

ρμ΄. Ὡς δ' ἄρα οἴχεσθαι τὸν Αἰθίοπα ἐξ Αἰγύπτου, αὖτις τὸν τυφλὸν ἄρχειν ἐκ τῶν ἑλέων ἀπικόμενον· ἔνθα πεντήκοντα ἔτεα νῆσον χώσας σποδῷ τε καὶ γῇ, οἴκεε· ὅκως γὰρ οἱ φοιτᾷν σῖτον ἄγοντας Αἰγυπτίων, ὡς ἑκάστοισι προστετάχθαι σιγῇ τοῦ Αἰθίοπος ἐς δωρεὴν

---

monstrare hanc occasionem, ut piaculo in sacra commisso, aliquid cladis aut a diis aut ab hominibus acciperet; se vero nequaquam ista facturum, sed nempe sibi excessisse tempus quantum oracula cecinerant regno Ægypti possesso exiturum. Etenim quum in Æthiopia ageret, oracula, quibus utuntur Æthiopes, responderant, fore ut is in Ægypto quinquaginta regnaret annos. Id tempus quum excessisset, et viso insomnii perturbatus esset, ultro ex Ægypto discessit Sabacos.

140. Eo profecto ex Ægypto, rursus cœcum e palustribus egressum accepisse imperium: ubi quinquaginta annos habitavit insulam cinere atque humo aggestam. Nam ut quique Ægyptiorum jussi illuc ibant portantes frumentum, eis singulis

κελεύειν σφέας καὶ σποδὸν κομίζειν. ταύτην τὴν νῆσον οὐδεὶς πρότερον ἐδυνάσθη Ἀμυρταίου ἐξευρεῖν· ἀλλὰ ἔτεα ἐπὶ πλέω ἢ ἑπτακόσια οὐκ οἷοί τε ἦσαν αὐτὴν ἀνευρεῖν οἱ πρότεροι γενόμενοι βασιλῆες Ἀμυρταίου. οὔνομα δὲ ταύτῃ τῇ νήσῳ Ἐλβώ· μέγαθος δ' ἐστὶ πάντη δέκα σταδίων.

ρμα΄. Μετὰ δὲ τοῦτον, βασιλεῦσαι τὸν ἱρέα τοῦ Ἡφαίστου, τῷ οὔνομα εἶναι Σεθῶν, τὸν ἐν ἀλογίῃσι ἔχειν παραχρησάμενον τῶν μαχίμων Αἰγυπτίων, ὡς οὐδὲν δεησόμενον αὐτῶν· ἄλλα τε δὴ ἄτιμα ποιεῦντα ἐς αὐτοὺς, καί σφεας ἀπελέσθαι τὰς ἀρούρας, τοῖσι ἐπὶ τῶν προτέρων βασιλήων δεδόσθαι ἐξαιρέτους ἑκάστῳ δυώδεκα ἀρούρας· μετὰ δὲ, ἐπ' Αἴγυπτον ἐλαύνειν στρατὸν μέγαν Σαναχάριβον βασιλέα Ἀραβίων τε καί Ἀσσυρίων· οὔκων

---

mandabat, ut clam Æthiope ad se dono etiam cinerem ferrent. Hanc insulam nemo ante Amyrtæum invenire potuit, sed septingentis et amplius annis superiores Amyrtæo reges nequierunt eam invenire: cui insulæ nomen est Elbo, decem undiquaque stadiorum magnitudinis.

141. Post hunc regnasse sacerdotem Vulcani, nomine SETHON: eumque bellatoribus Ægyptiis abusum fuisse, contemptui habentem, tanquam sibi non fore opportunos, et cum aliis ignominiis eos affecisse, tum vero aruras, *vel arva C. cubitorum* abstulisse, quas eximias a superioribus regibus dono acceperant singuli duodenas. Postea, quum Sanacharibus Arabum Assyriorumque rex cum

δὴ ἐθέλειν τοὺς μαχίμους τῶν Αἰγυπτίων βοηθέειν· τὸν δὲ ἱρέα ἐς ἀπορίην ἀπειλημμένον, ἐσελθόντα ἐς τὸ μέγαρον, πρὸς τὤγαλμα ἀποδύρεσθαι οἷα κινδυνεύει παθέειν· ὀλοφυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον, καὶ οἱ δόξαι ἐν τῇ ὄψι ἐπιστάντα τὸν θεὸν θαρσύνειν ὡς οὐδὲν πείσεται ἄχαρι, ἀντιάζων τὸν Ἀραβίων στρατόν· αὐτὸς γάρ οἱ πέμψειν τιμωρούς. τούτοισι δή μιν πίσυνον τοῖσι ἐνυπνίοισι, παραλαβόντα Αἰγυπτίων τοὺς βουλομένους οἱ ἕπεσθαι, στρατοπεδεύσασθαι ἐν Πηλουσίῳ· ταύτῃ γάρ εἰσι αἱ ἐσβολαί· ἕπεσθαι δέ οἱ τῶν μαχίμων μὲν οὐδένα ἀνδρῶν, καπήλους δὲ καὶ χειρώνακτας, καὶ ἀγοραίους ἀνθρώπους, ἐνθαῦτα ἀπικομένους, τοῖσι ἐναντίοισι αὐτοῖσι ἐπιχυθέντας νυκτὸς μῦς ἀρουραίους, κατὰ μὲν φαγέειν τοὺς

---

magnis copiis invasisset Ægyptum, noluerunt bellatores Ægyptiorum ei opitulari. Tunc sacerdotem consilii inopem, in delubrum se contulisse; et apud simulacrum complorasse quanta pati periclitaretur: eique inter lamentationem obrepsisse somnum: et in quiete visum venisse deum exhortantem, quippe nihil eum molesti passurum, si copiis Arabum obviam iret: se enim auxiliarios ei missurum. His insomniis fretum sacerdotem, sumptis Ægyptiorum iis, qui sequi vellent, castra in Pelusio posuisse; hac enim sunt ingressus; nec eum fuisse quempiam bellatorum sequutum, sed institores, et operarios, et forenses homines. Eo quum pervenissent, noctu infusam in ipsos hostes vim agrestium murium, qui illorum tum pha-

φαρετρεῶνας αὐτέων, κατὰ δὲ τὰ τόξα· πρὸς δὲ, τῶν ἀσπίδων τὰ ὄχανα, ὥστε τῇ ὑστεραίῃ φευγόντων σφέων γυμνῶν ὅπλων, πεσέειν πολλούς. καὶ νῦν οὗτος ὁ βασιλεὺς ἕστηκε ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου λίθινος, ἔχων ἐπὶ τῆς χειρὸς μῦν· λέγων διὰ γραμμάτων τάδε· ΕΣ ΕΜΕ ΤΙΣ ΟΡΕΩΝ, ΕΥΣΕΒΗΣ ΕΣΤΩ.

ρμϐ. Ἐς μὲν τοσόνδε τοῦ λόγου Αἰγύπτιοί τε καὶ οἱ ἱρέες ἔλεγον, ἀποδεικνύντες, ἀπὸ τοῦ πρώτου βασιλέος, ἐς τοῦ Ἡφαίστου τὸν ἱρέα τοῦτον τὸν τελευταῖον βασιλεύσαντα, μίην τε καὶ τεσσεράκοντα καὶ τριηκοσίας ἀνθρώπων γενεὰς γενομένας, καὶ ἐν ταύτῃσι ἀρχιρέας καὶ βασιλέας ἑκατέρους τοσούτους γενομένους· καί τοι τριηκόσιαι μὲν ἀνδρῶν γενεαὶ δυνέαται μύρια ἔτεα· γενεαὶ γὰρ τρεῖς ἀνδρῶν,

---

retras, tum arcus, tum scutorum habenas ambederunt, ita ut postera die hostes nudi armis fugam sumentes, multos amiserint. Eoque nunc iste rex in templo Vulcani lapideus stat, manu murem tenens, atque hæc per litteras dicens, IN ME QUIS INTUENS, PIUS ESTO.

142. Ad hunc usque narrationis locum et Ægyptii et sacerdotes referebant, demonstrantes a primo rege ad Vulcani sacerdotem hunc, qui postremus regnavit, generationes vel ætates hominum fuisse trecentas quadraginta unam, et totidem interea sacerdotes maximos totidemque reges. Trecentæ autem generationes decem millia annorum æquant. Nam tres virorum generationes, centum anni

ἑκατὸν ἔτεά ἐστι· μιῆς δὲ καὶ τεσσεράκοντα ἔτι τῶν ἐπιλοίπων γενεέων, αἱ ἐπῆσαν τῇσι τριηκοσίῃσι, ἔστι τεσσεράκοντα καὶ τριηκόσια καὶ χιλία ἔτεα· οὕτω ἐν μυρίοισί τε ἔτεσι καὶ χιλίοισι καὶ πρὸς, τριηκοσίοισί τε καὶ τεσσεράκοντα ἔλεγον θεὸν ἀνθρωποειδέα οὐδένα γενέσθαι· οὐ μέντοι οὐδὲ πρότερον, οὐδὲ ὕστερον ἐν τοῖσι ὑπολοίποισι Αἰγύπτου βασιλεῦσι γενομένοισι, ἔλεγον τοιοῦτον οὐδέν. ἐν τοίνυν τούτῳ τῷ χρόνῳ τετράκις ἔλεγον ἐξ ἠθέων τὸν ἥλιον ἀνατεῖλαι· ἔνθα τε νῦν καταδύεται, ἐνθεῦτεν δὶς ἐπαντεῖλαι· καὶ ἔνθεν νῦν ἀνατέλλει, ἐνθαῦτα δὶς καταδῦναι, καὶ οὐδὲν τῶν κατ᾽ Αἴγυπτον ὑπὸ ταῦτα ἑτεροιωθῆναι, οὔτε τὰ ἐκ τῆς γῆς, οὔτε τὰ ἐκ τοῦ ποταμοῦ σφι γινόμενα, οὔτε τὰ ἀμφὶ νούσους, οὔτε τὰ κατὰ τοὺς θανάτους.

---

sunt; una et quadraginta, quæ reliquæ sunt ultra trecentas, sunt anni mille trecenti quadraginta. Ita intra undecim millia trecentosque insuper et quadraginta annos, negabant ullum deum forma humana extitisse: sed neque aut prius aut posterius in reliquis Ægypti regibus aliquid tale dicebant fuisse: sed intra hoc tempus quater solem extra sedes suas fuisse ortum; bis denuo illinc exortum, ubi nunc occidit; bis autem unde nunc oritur, illic occidisse: nec tamen sub hæc aliquid in Ægypto esse immutatum, nec ea quæ ex terra, nec ea quæ e flumine ipsis proveniunt, nec quæ ad morbos aut quæ ad mortes pertinent.

ρμγ΄. Πρότερον δὲ Ἑκαταίῳ τῷ λογοποιῷ ἐν Θήβῃσι γενεηλογήσαντι ἑωϋτὸν, καὶ ἀναδήσαντί τε τὴν πατριὴν ἐς ἑκκαιδέκατον θεὸν, ἐποίησαν οἱ ἱρέες τοῦ Διὸς, οἷόν τι καὶ ἐμοὶ οὐ γενεηλογήσαντι ἐμεωϋτόν· ἐσαγαγόντες ἐς τὸ μέγαρον ἔσω ἐὸν μέγα, ἐξηρίθμεον δεικνύντες κολοσσοὺς ξυλίνους τοσούτους ὅσους περ εἶπον· ἀρχιρεὺς γὰρ ἕκαστος αὐτόθι ἵσταται ἐπὶ τῆς ἑωϋτοῦ ζόης εἰκόνα ἑωϋτοῦ ἀριθμέοντες ὦν καὶ δεικνύντες οἱ ἱρέες ἐμοὶ ἀπεδείκνυσαν παῖδα πατρὸς ἑωϋτῶν ἕκαστον ἐόντα, ἐκ τοῦ ἄγχιστα ἀποθανόντος τῆς εἰκόνος, διεξιόντες διὰ πασέων, ἕως οὗ ἀπέδεξαν ἁπάσας αὐτάς. Ἑκαταίῳ δὲ γενεηλογήσαντι ἑωϋτὸν, καὶ ἀναδήσαντι ἐς ἑκκαιδέκατον θεὸν, ἀντεγενεηλόγησαν ἐπὶ τῇ ἀριθμήσει, οὐ δεκόμενοι παρ᾽ αὐτοῦ,

---

143. Atque antea Hecatæo historiæ scriptori, apud Thebas originem generis recensenti, ac propagationem familiæ suæ referenti ad sextumdecimum deum, sacerdotes Jovis tale quiddam fecerant, quale et mihi quid non recensenti familiam meam. Introducto in templum intus grande, enumerabant monstrando tot e ligno colossos quot dixi. Ibi namque quisque summus sacerdos ponit suam imaginem dum vivit; numerantes itaque et monstrantes sacerdotes, ostendebant mihi unumquemque filium patris ipsum esse ex imagine ejus, qui proxime esset mortuus, eundo per imagines eorum, donec omnes illas exposuerant. Hecatæo igitur originem suam recensenti, et ad sextumdeci-

ἀπὸ θεοῦ γενέσθαι ἄνθρωπον· ἀντεγενεηλόγησαν δὲ ὧδε, φάμενοι ἕκαστον τῶν κολοσσῶν Πίρωμιν ἐκ Πιρώμιος γεγονέναι· ἐς ὃ τοὺς πέντε καὶ τεσσεράκοντα καὶ τριηκοσίους ἀπέδεξαν κολοσσοὺς, Πίρωμιν ἐκ Πιρώμιος γενόμενον, καὶ οὔτε ἐς θεὸν, οὔτε ἐς ἥρωα ἀνέδησαν αὐτούς. Πίρωμις δέ ἐστι κατ' Ἑλλάδα γλῶσσαν, καλὸς κἀγαθός.

ρμδ'. Ἤδη ὧν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυσάν σφεας πάντας ἐόντας, θεῶν δὲ πολλὸν ἀπαλλαγμένους. τὸ δὲ πρότερον τῶν ἀνδρῶν τούτων, θεοὺς εἶναι τοὺς ἐν Αἰγύπτῳ ἄρχοντας, οὐκ ἐόντας ἅμα τοῖσι ἀνθρώποισι· καὶ τούτων αἰεὶ ἕνα τὸν κρατέοντα εἶναι· ὕστατον δὲ αὐτῆς βασιλεῦσαι Ὦρον τὸν Ὀσίριος παῖδα, τὸν Ἀπόλλωνα Ἕλληνες ὀνομά-

---

mum deum alliganti, occurrebant simili ratione per numerationem, non admittentes id, quod ab illo diceretur, hominem generari e deo. Occurrebant autem repetenda progenie hunc in modum, dicentes unumquemque colossorum fuisse Piromin ex Piromi genitum, donec trecentos quadraginta quinque colossos commemorarent, Piromin ex Piromi progenitum: eosque referentes nec ad deum nec ad heroa. Est autem Piromis Græca lingua expositum *honestus et bonus.*

144. Eos itaque, quorum imagines erant, demonstrabant tales omnes extitisse, sed multum a diis distantes. Tempore autem hos viros antecedente fuisse deos in Ægypto principes, non agentes cum hominibus, et eorum semper unum extitisse domina-

ζουσι· τοῦτον καταπαύσαντα Τυφῶνα, βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ὄσιρις δέ ἐστι Διόνυσος κατ' Ἑλλάδα γλῶσσαν.

ρμέ. Ἐν Ἕλλησι μέν νυν νεώτατοι τῶν θεῶν νομίζονται εἶναι Ἡρακλῆς τε καὶ Διόνυσος καὶ Πάν· παρ' Αἰγυπτίοισι δὲ, Πὰν μὲν, ἀρχαιότατος, καὶ τῶν ὀκτὼ τῶν πρώτων λεγομένων θεῶν· Ἡρακλῆς δὲ, τῶν δευτέρων, τῶν δυώδεκα λεγομένων εἶναι· Διόνυσος δὲ, τῶν τρίτων, οἳ ἐκ τῶν δυώδεκα θεῶν ἐγένοντο. Ἡρακλέϊ μὲν δὴ ὅσα αὐτοὶ Αἰγύπτιοί φασι εἶναι ἔτεα ἐς Ἄμασιν βασιλέα, δεδήλωταί μοι πρόσθε· Πανὶ δὲ ἔτι τούτων πλέονα λέγεται εἶναι· Διονύσῳ δ' ἐλάχιστα τούτων· καὶ τούτῳ πεντακισχίλια καὶ μύρια λογίζονται εἶναι ἐς Ἄμασιν βασιλέα. καὶ ταῦτα Αἰγύπτιοι ἀτρεκέως φασὶ

---

torem: et postremum illic regnasse Orum Osiridis filium, quem Græci Apollinem nominant. Hunc, postquam evertit Typhonem, regnasse in Ægypto postremum. Osiris autem Græca lingua est, *Liber*.

145. Atqui apud Græcos novissimi deorum esse censentur Hercules, Liber et Pan: at apud Ægyptios Pan vetustissimus est, etiam ex octo diis, qui primi dicuntur: Hercules, ex secundis, qui dicuntur duodecim esse: Liber, ex tertiis, qui ab illis duodecim diis sunt procreati. Herculi autem quantum annorum ad Amasin regem esse ipsi Ægyptii dicant, superius a me patefactum est: Pani autem plus adhuc annorum esse dicitur; minimum horum Libero;

ἐπίστασθαι, αἰεί τε λογιζόμενοι, καὶ αἰεὶ ἀπογραφόμενοι τὰ ἔτεα. Διονύσῳ μέν νυν τῷ ἐκ Σεμέλης τῆς Κάδμου λεγομένῳ γενέσθαι, κατὰ ἑξακόσια ἔτεα καὶ χίλια μάλιστά ἐστι ἐς ἐμέ· Ἡρακλέϊ δὲ τῷ Ἀλκμήνης, κατὰ εἰνακόσια ἔτεα· Πανὶ δὲ τῷ ἐκ Πηνελόπης (ἐκ ταύτης γὰρ καὶ Ἑρμέω λέγεται γενέσθαι ὑπὸ Ἑλλήνων ὁ Πὰν) ἐλάσσω ἔτεά ἐστι τῶν Τρωικῶν, κατὰ τὰ ὀκτακόσια μάλιστα ἐς ἐμέ.

ρμϛʹ. Τούτων ὦν ἀμφοτέρων πάρεστι χρέεσθαι τοῖσι τὶς πείσεται λεγομένοισι μᾶλλον· ἐμοὶ δ' ὦν ἡ περὶ αὐτέων γνώμη ἀποδέδεκται. εἰ μὲν γὰρ φανεροί τε ἐγένοντο, καὶ κατεγήρασαν καὶ οὗτοι ἐν τῇ Ἑλλάδι, κατάπερ Ἡρακλέης ὁ ἐξ Ἀμφιτρύωνος γενόμενος, καὶ δὴ

quamquam huic ad Amasin regem quindecim millia annorum esse supputentur. Et hæc Ægyptii liquide asseverant se scire, et assidue supputando, et semper annos describendo. Baccho quidem certe, qui ex Semele Cadmi genitus fertur, ad meam ætatem sunt anni ferme mille sexcenti: Herculi autem Alcmenæ filio, prope nongenti anni: Pani autem Penelopes, ex hac enim et Mercurio Pan genitus dicitur a Græcis, minus annorum est quam a bello Trojano, octingenti fere ad me anni.

146. Utrum horum quæ dicuntur probabilius sibi videtur, eo quisque utatur licet; mihi autem de his opinio demonstrata est. Nam si et isti in Græcia cum celebres fuissent, tum senuissent, quemadmodum Hercules ex Amphitryone genitus, atque

καὶ Διόνυσος ὁ ἐκ Σεμέλης, καὶ Πὰν ὁ ἐκ Πηνελόπης γενόμενος, ἔφη ἄν τις καὶ τούτους ἄλλους γενομένους ἄνδρας ἔχειν τὰ ἐκείνων οὐνόματα τῶν προγεγονότων θεῶν. νῦν δὲ Διόνυσόν τε λέγουσι οἱ Ἕλληνες ὡς αὐτίκα γενόμενον, ἐς τὸν μηρὸν ἐνεῤῥάψατο Ζεὺς, καὶ ἤνεικε ἐς Νύσαν τὴν ὑπὲρ Αἰγύπτου ἐοῦσαν ἐν τῇ Αἰθιοπίῃ· καὶ Πανός γε πέρι οὐκ ἔχουσι εἰπεῖν ὅκη ἐτράπετο γενόμενος. δῆλά μοι ὦν γέγονε ὅτι ὕστερον ἐπύθοντο οἱ Ἕλληνες τούτων τὰ οὐνόματα, ἢ τὰ τῶν ἄλλων θεῶν· ἀπ᾽ οὗ δὲ ἐπύθοντο χρόνου, ἀπὸ τούτου γενεηλογέουσι αὐτέων τὴν γένεσιν. ταῦτα μέν νυν αὐτοὶ Αἰγύπτιοι λέγουσι.

ρμζ΄. Ὅσα δὲ οἱ ἄλλοι ἄνθρωποι, καὶ Αἰγύπτιοι λέγουσι, ὁμολογέοντες τοῖσι ἄλλοισι κατὰ ταύτην τὴν χώρην γενέσθαι, ταῦτ᾽

---

etiam Bacchus ex Semele, et Pan ex Penelope natus, dixerit aliquis et hos viros natos habere illorum deorum nomina, qui prius geniti fuerant: nunc vero Græci aiunt et Bacchum, statim, ut editus fuit, ab Jove insutum femori, portatumque in Nysam, quæ est supra Ægyptum in Æthiopia: de Pane ne habent quidem quod dicant, quonam a partu sit delatus; ex quo fit mihi manifestum, Græcos audivisse posterius horum, quam aliorum deorum nomina: et ex eo tempore, quo de iis audierant, illorum nativitatem recensuisse; atque hæc quidem ipsi Ægyptii aiunt.

147. Quæ vero ceteri homines, et Ægyptii consentientes illis aliis memorant in hac regione fuisse gesta, hæc jam explicabo; aliquid etiam his quod

ἤδη φράσω· προσέσται δέ τι αὐτοῖσι καὶ τῆς ἐμῆς ὄψιος. Ἐλευθερωθέντες Αἰγύπτιοι μετὰ τὸν ἱρέα τοῦ Ἡφαίστου βασιλεύσαντα, (οὐδένα γὰρ χρόνον οἷοί τε ἦσαν ἄνευ βασιλῆος διαιτᾶσθαι) ἐστήσαντο δυώδεκα βασιλέας, ἐς δυώδεκα μοίρας δασάμενοι Αἴγυπτον πᾶσαν· οὗτοι ἐπιγαμίας ποιησάμενοι ἐβασίλευον, νόμοισι τοῖσιδε χρεόμενοι, μήτε καταιρέειν ἀλλήλους, μήτε πλέον τι δίζησθαι ἔχειν τὸν ἕτερον τοῦ ἑτέρου· εἶναί τε φίλους τὰ μάλιστα· τῶνδε δὲ εἵνεκα τοὺς νόμους τούτους ἐποιεῦντο, ἰσχυρῶς περιστέλλοντες· ἐκέχρηστό σφι κατ᾽ ἀρχὰς αὐτίκα ἐνισταμένοισι ἐς τὰς τυραννίδας, τὸν χαλκέῃ φιάλῃ σπείσαντα αὐτέων ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τοῦτον ἁπάσης βασιλεύσειν Αἰγύπτου· ἐς γὰρ δὴ τὰ πάντα ἱρὰ συνελέγοντο.

---

ego vidi admiscebitur. Post Vulcani sacerdotis regnum Ægyptii libertatem adepti, duodecim reges, nullo enim tempore poterant sine rege vivere, deligunt, in totidem portiones omni Ægypto distincta. Isti juncti inter se affinitatibus regnabant, pactionibus his initis, ne se invicem tollerent, neve alius plus alio quippiam obtinere quæreret, sed ut essent quam amicissimi. Atque ea de causa has pactiones inierunt valide circummunientes, quod eis inter initia, simulatque tyrannides invaserunt, responsum oraculo fuerat, qui eorum in templo Vulcani ærea phiala libasset, eum totius Ægypti regno potiturum: per omnia enim templa congregabantur.

ϱμή. Καὶ δή σφι μνημόσυνα ἔδοξε λιπέσθαι κοινῇ· δόξαν δέ σφι, ἐποιήσαντο λαβύϱινθον, ὀλίγον ὑπὲϱ τῆς λίμνης τῆς Μοίϱιος, κατὰ κϱοκοδείλων καλεομένην πόλιν μάλιστά κῃ κείμενον· τὸν ἐγὼ ἤδη ἴδον λόγου μέζω. εἰ γάϱ τις τὰ ἐξ Ἑλλήνων τείχεά τε καὶ ἔϱγων ἀπόδεξιν συλλογίσαιτο, ἐλάσσονος πόνου τε ἂν καὶ δαπάνης φανείη ἐόντα τοῦ λαβυϱίνθου τούτου· καί τοι ἀξιόλογός γε καὶ ὁ ἐν Ἐφέσῳ ἐστὶ νηὸς, καὶ ὁ ἐν Σάμῳ. ἦσαν μέν νυν καὶ αἱ πυϱαμίδες λόγου μέζονες, καὶ πολλῶν ἑκάστη αὐτέων Ἑλληνικῶν ἔϱγων καὶ μεγίστων ἀνταξίη· ὁ δὲ δὴ λαβύϱινθος καὶ τὰς πυϱαμίδας ὑπεϱβάλλει· τοῦ γὰϱ δυώδεκα μέν εἰσι αὐλαὶ κατάστεγοι, ἀντίπυλοι ἀλλήλῃσι· ἓξ μὲν πϱὸς βοϱέω, ἓξ καὶ πϱὸς νότον τετϱαμμέ-

148. Etiam placitum est eis relinquere communiter monumenta: ex eoque placito fecerunt labyrinthum, paulo supra stagnum Mœrios, maxime urbem versus, quæ dicitur crocodilorum: quem ego jam aspexi fama majorem. Si quis enim omnium castellorum aut operum Græcorum speciem consideret, minori labore et sumptu deprehendentur stetisse, quam fuit hujus labyrinthi. Tametsi enim istud in urbe Epheso templum est memoratu dignum, et in Samo: etiam pyramides erant narratione majores, quarum singulæ multis ac maximis operibus Græcis æquiparandæ sunt. At vero eas quoque labyrinthus superjacit. Etenim duodecim ejus aulæ sunt tecto opertæ, portis oppositis altrinsecus: sex ad aquilonem, toti-

ναι συνεχέες· τοῖχος καὶ ἔξωθεν ὁ αὐτός σφεας περιέργει· οἰκήματα δ' ἔνεστι διπλα, τὰ μὲν, ὑπόγαια, τὰ δὲ, μετέωρα ἐπ' ἐκείνοισι τρισχίλια, ἀριθμὸν πεντακοσίων καὶ χιλίων ἑκατέρα· τὰ μὲν νυν μετέωρα τῶν οἰκημάτων αὐτοί τε ὡρέομεν διεξιόντες, καὶ αὐτοὶ θεησάμενοι λέγομεν· τὰ δὲ αὐτέων ὑπόγαια λόγοισι ἐπυνθανόμεθα. οἱ γὰρ ἐπεστεῶτες τῶν Αἰγυπτίων δεικνύναι αὐτὰ οὐδαμῶς ἤθελον, φάμενοι θήκας αὐτόθι εἶναι τῶν τε ἀρχὴν τὸν λαβύρινθον τούτων οἰκοδομησαμένων βασιλήων, καὶ τῶν ἱρῶν κροκοδείλων. οὕτω τῶν μὲν κάτω περὶ οἰκημάτων ἀκοῇ παραλαβόντες λέγομεν· τὰ δὲ ἄνω, μέζονα ἀνθρωπηΐων ἔργων αὐτοὶ ὡρέομεν. αἵ τε γὰρ ἔξοδοι διὰ τῶν στεγέων, καὶ οἱ ἑλιγμοὶ διὰ τῶν αὐλέων ἐόντες ποικιλώτατοι,

---

dem ad austrum vergentes contiguæ, eodem extrinsecus muro præclusæ. Duplicia in eo sunt domicilia, subterranea, et superna illis imposita, numero tria millia, in singulis mille quingenta. Quorum ea quæ superna sunt, ipsi peragrantes videbamus, et quæ aspeximus enarramus; subterranea vero auditu didicimus. Nam præpositi Ægyptiorum nolebant ullo pacto illa monstrare, quod dicerent illic loculos esse tum eorum regum, qui penitus ædificaverant labyrinthum istum, tum sacrorum crocodilorum. Ita de infernis ædificiis auditu cognita referimus. Superna ipsi perspiciebamus humanis operibus majora; nam egressus per tecta, et anfractus per aulas diversissimi, infinita

θώϋμα μυρίον παρέχοντο, ἐξ αὐλῆς τε ἐς τὰ οἰκήματα διεξιοῦσι, καὶ ἐκ τῶν οἰκημάτων ἐς παστάδας, ἐς στέγας τε ἄλλας ἐκ τῶν παστάδων, καὶ ἐς αὐλὰς ἄλλας ἐκ τῶν οἰκημάτων. ὀροφὴ δὲ πάντων τούτων λιθίνη, κατάπερ οἱ τοῖχοι. οἱ δὲ τοῖχοι, τύπων ἐγγεγλυμμένων πλέοι· αὐλὴ δὲ ἑκάστη περίστυλος, λίθου λευκοῦ ἁρμοσμένου ταμάλιστα· τῆς δὲ γωνίης τελευτῶντος τοῦ λαβυρίνθου ἔχεται πυραμὶς τεσσερακοντόργυιος, ἐν τῇ ζῶα μεγάλα ἐγγέγλυπται, ὁδὸς δ' ἐς αὐτὴν ὑπὸ γῆν πεποίηται.

ρμθ'. Τοῦ δὲ λαβυρίνθου τούτου ἐόντος τοιούτου, θώϋμα ἔτι μέζον παρέχεται ἡ Μοίριος καλεομένη λίμνη, παρ' ἣν ὁ λαβύρινθος οὗτος οἰκοδόμηται. τῆς τὸ περίμετρον τῆς περιόδου εἰσὶ στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι,

---

me admiratione afficiebant: et ex aula in ædificia transitur, ex ædificiis in cubicula, et e cubiculis in solaria et tecta alia, et ex ædificiis in alias aulas. Horum omnium lacunar, quemadmodum parietes, lapideum est; parietes sculptilibus passim figuris ornati. Singulæ aulæ columnarum ambitu redimitæ lapide arctissime juncto albo. Angulo quo finit labyrinthus, adhæret pyramis centum sexaginta cubitorum, in qua grandia sunt insculpta animalia, in quam iter sub terra factum est.

149. Et quum talis sit hic labyrinthus, tamen stganum Mœrios, ad quod labyrinthus ædificatus est, plus adhuc præbet admirationis. Cujus in circuitu mensura trium millium et sex-

σχοίνων ἑξήκοντα ἐόντων, ἴσον καὶ αὐτῆς Αἰγύπτου τὸ παρὰ θάλασσαν. κέεται δὲ μακρὴ ἡ λίμνη πρὸς βορῆν τε καὶ νότον, ἐοῦσα βάθος, τῇ βαθυτάτη αὐτὴ ἑωϋτῆς, πεντηκοντόργυιος. ὅτι δὲ χειροποίητός ἐστὶ καὶ ὀρυκτὴ, αὐτὴ δηλοῖ. ἐν γὰρ μέσῃ τῇ λίμνῃ μάλιστά κῃ ἑστᾶσι δύο πυραμίδες, τοῦ ὕδατος ὑπερέχουσαι πεντήκοντα ὀργυιὰς ἑκατέρη· καὶ τὸ κατ' ὕδατος οἰκοδόμηται ἕτερον τοσοῦτον· καὶ ἐπ' ἀμφοτέρῃσι ἔπεστι κολοσσὸς λίθινος, κατήμενος ἐν θρόνῳ. οὕτω αἱ μὲν πυραμίδες εἰσὶ ἑκατὸν ὀργυιέων, αἱ δ' ἑκατὸν ὀργυιαὶ δίκαιαί εἰσι στάδιον ἑξάπλεθρον. ἑξαπέδου μὲν τῆς ὀργυιῆς μετρεομένης καὶ τετραπήχεος, τῶν ποδῶν μὲν τετραπαλαίστων ἐόντων, τοῦ δὲ πήχεος, ἑξαπαλαίστου. τὸ δὲ ὕδωρ τὸ ἐν τῇ λίμνῃ,

---

centorum stadiorum est, schœnorum sexaginta, quanta et ipsius Ægypti ad mare latitudo est. Jacet autem stagnum longo situ aquilonem versus austrumque: altitudine, ubi ejus profundissimum est, ducentorum cubitorum. Quod autem manu facta sit ac depressa, ipsa indicat; nam in ejus ferme medio stant duæ pyramides, cubita ducenta ex aqua extantes, altero tanto ædificii aquis tecto. Super quarum utraque lapideus est colossus in solio sedens: ita pyramides sunt quadringentorum cubitorum. Tot autem cubita justa sunt stadium sexcentorum pedum. Orgyia quidem mensurata sex pedum et quatuor cubitorum: pedibus quidem, quatuor palmorum; cubito autem,

αὐθιγενὲς μὲν οὐκ ἔστι· (ἄνυδρος γὰρ δὴ δεινῶς ἐστι ταύτη) ἐκ τοῦ Νείλου δὲ κατὰ διώρυχα ἐσῆκται· καὶ ἓξ μὲν μῆνας ἔσω ῥέει ἐς τὴν λίμνην, ἓξ δὲ μῆνας ἔξω ἐς τὸν Νεῖλον αὖτις. καὶ ἐπεὰν μὲν ἐκρέῃ ἔξω ἥδε, τότε τοὺς ἓξ μῆνας ἐς τὸ βασιλήϊον καταβάλλει ἐπ' ἡμέρην ἑκάστην τάλαντον ἀργυρίου ἐκ τῶν ἰχθύων· ἐπεὰν δὲ ἐσίῃ τὸ ὕδωρ ἐς αὐτὴν, εἴκοσι μνέας.

ρν'. Ἔλεγον δὲ οἱ ἐπιχώριοι καὶ ὡς ἐς τὴν Σύρτιν τὴν ἐς Λιβύην ἐκδιδοῖ ἡ λίμνη αὕτη ὑπὸ γῆν, τετραμμένη τὸ πρὸς ἑσπέρην ἐς τὴν μεσόγαιαν παρὰ τὸ ὄρος τὸ ὑπὲρ Μέμφιος. ἐπεί τε δὲ τοῦ ὀρύγματος τούτου οὐκ ὥρεον τὸν χοῦν οὐδαμοῦ ἐόντα, ἐπιμελὲς γὰρ δή μοι ἦν, εἰρόμην τοὺς ἄγχιστα οἰκέοντας τῆς λίμνης ὅκου εἴη

---

sex palmorum. Aqua stagni nativa non est, utpote solo illo admodum arido, sed e Nilo per rivum inducta, et sex quidem mensibus in stagnum influit, totidem retro in Nilum; illisque sex mensibus quibus ex eo effluit, ditans regium fiscum talentis argenti singulis, in singulos dies, proventu piscium; quum aqua influit, viginti minis.

150. Hoc stagnum dicebant etiam indigenæ evadere in Syrtin Africæ sub terram, versum in mediterranea ad occidentem, secundum montem qui est supra Memphin. Verum quum humum e fossa illa egestam nusquam viderem, hoc enim mihi indagare curæ erat, percontabar proximos accolarum, ubinam esset humus illinc effossa: Illi

ὁ χοῦς ὁ ἐξορυχθείς· οἱ δὲ ἔφρασάν μοι ἵνα ἐξεφορήθη. καὶ εὐπετέως ἔπειθον· ᾔδεα γὰρ λόγῳ καὶ ἐν Νίνῳ τῇ Ἀσσυρίων πόλι γενόμενον ἕτερον τοιοῦτο. τὰ γὰρ Σαρδαναπάλλου τοῦ Νίνου βασιλῆος χρήματα ἐόντα μεγάλα, καὶ φυλασσόμενα ἐν θησαυροῖσι καταγαίοισι, ἐπενόησαν κλῶπες ἐκφορῆσαι. ἐκ δὴ ὦν τῶν σφετέρων οἰκίων ἀρξάμενοι οἱ κλῶπες, ὑπὸ γῆν σταθμεόμενοι ἐς τὰ βασιλήϊα οἰκία ὤρυσσον. τὸν δὲ χοῦν τὸν ἐκφορεόμενον ἐκ τοῦ ὀρύγματος, ὅκως γένοιτο νὺξ, ἐς τὸν Τίγριν ποταμὸν, παραῤῥέοντα τὴν Νίνον, ἐξεφόρεον, ἐς ὃ κατεργάσαντο ὅ, τι ἐβούλοντο. τοιοῦτον ἕτερον ἤκουσα καὶ τὸ τῆς ἐν Αἰγύπτῳ λίμνης ὄρυγμα γενέσθαι· πλὴν οὐ νυκτὸς, ἀλλὰ μετ' ἡμέρην ποιεύμενον· ὀρύσσοντας γὰρ τὸν χοῦν τοὺς

---

mihi dixere, quo fuerit exportata; et facile persuadebant: quippe qui aliud tale factum apud Ninum quoque urbem Assyriorum auditu cognoveram. Siquidem fures magnam vim pecuniæ Sardanapalli, qui Nini rex erat, in thesauris subterraneis custoditam, compilare quum constituissent, a suis igitur domibus exorsi, dimensi viam sub terra ad regias ædes foderunt, eamque humum e cuniculo egestam, ubi nox aderat, in flumen Tigrim, qui Ninum præterfluit, exportabant, donec id quod optabant perfecere. Eodem modo audivi in Ægypto hanc alteram fuisse factam lacunam, præterquam quod non noctu hæc, sed interdiu est facta: Ægyptios enim humum quam effodiebant, in

Αἰγυπτίους, ἐς τὸν Νεῖλον φορέειν· ὁ δὲ, ὑπολαμβάνων, ἔμελλε διαχέειν. ἡ μέν νυν λίμνη αὕτη οὕτω λέγεται ὀρυχθῆναι.

ρνά. Τῶν δὲ δυώδεκα βασιλήων δικαιοσύνῃ χρεομένων, ἀνὰ χρόνον ὡς ἔθυσαν ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τῇ ὑστάτῃ τῆς ὀρτῆς μελλόντων κατασπείσειν, ὁ ἀρχιρεὺς ἐξένεικέ σφι φιάλας χρυσέας, τῇσιπερ ἐώθεσαν σπένδειν, ἁμαρτὼν τοῦ ἀριθμοῦ, ἕνδεκα, δυώδεκα ἐοῦσι. ἐνθαῦτα ὡς οὐκ εἶχε φιάλην ὁ ἔσχατος ἑστεὼς αὐτέων Ψαμμίτιχος, περιελόμενος τὴν κυνέην ἐοῦσαν χαλκέην, ὑπέσχε τε καὶ ἔσπενδε. κυνέας δὲ καὶ οἱ ἄλλοι ἅπαντες ἐφόρεόν τε βασιλῆες, καὶ ἐτύγχανον τότε ἔχοντες. Ψαμμίτιχος μέν νυν οὐδενὶ δολερῷ νόῳ χρεόμενος, ὑπέσχε τὴν κυνέην· οἱ δὲ, ἐν φρενὶ λαβόντες τό,

---

Nilum extulisse, quam ille acceptam dissiparet. Et hic quidem lacus ita fertur fuisse depressus.

151. Duodecim autem reges quum juste degerent, et interjecto tempore in templo Vulcani sacrificassent, et ultimo festi die libaturi essent, porrexit eis summus sacerdos aureas phialas, quibus libare consueverant, aberrans numero, undecim, quum essent ipsi duodecim. Ibi PSAMMITICHUS, qui postremus eorum stabat, quum non haberet phialam, detractam sibi æream galeam tenuit, libavitque. Ferre autem solebant et ceteri omnes reges, et tunc quoque gestabant galeas. Nullo quidem igitur dolo malo usus Psammitichus galeam tenuit. Ceteri ta-

τε ποιηθὲν ἐκ Ψαμμιτίχου, καὶ τὸ χρηστήριον, ὅτι ἐκέχρηστό σφι, τὸν χαλκέῃ σπείσαντα αὐτῶν φιάλῃ, τοῦτον βασιλῆα ἔσεσθαι μοῦνον Αἰγύπτου· ἀναμνησθέντες τοῦ χρησμοῦ, κτεῖναι μὲν οὐκ ἐδικαίωσαν Ψαμμίτιχον, ὡς ἀνεύρισκον βασανίζοντες ἐξ οὐδεμιῆς προνοίης αὐτὸν ποιήσαντα· ἐς δὲ τὰ ἕλεα ἔδοξέ σφι διῶξαι, ψιλώσαντας τὰ πλεῖστα τῆς δυνάμιος· ἐκ δὲ τῶν ἑλέων ὁρμεόμενον μὴ ἐπιμίσγεσθαι τῇ ἄλλῃ Αἰγύπτῳ.

ρνϐ'. Τὸν δὲ Ψαμμίτιχον τοῦτον πρότερον φεύγοντα τὸν Αἰθίοπα Σαϐακῶν, ὅς οἱ τὸν πατέρα Νεκῶν ἀπέκτεινε, τοῦτον φεύγοντα τότε ἐς Συρίην, ὡς ἀπαλλάχθη ἐκ τῆς ὄψιος τοῦ ὀνείρου ὁ Αἰθίοψ, κατήγαγον Αἰγυπτίων οὗτοι, οἳ ἐκ νομοῦ Σαΐτεώ εἰσι· μετὰ δὲ, βα-

---

men mente advertentes id factum Psammitichi et simul oraculum, quod ipsis cecinerat, qui eorum ærea in phiala libasset, eum solum regem Ægypti futurum; ejus igitur reminiscentes non censuerunt quidem æquum esse, Psammitichum morte mulctari, postquam rimando compererunt non id illum fecisse industria aliqua; sed maxima potentiæ parte exutum in palustria relegandum, ex quibus ne egressus, reliquæ Ægypto se immisceret.

152. Hunc Psammitichum, quum antea fugiens Sabacum Æthiopem, qui patrem ejus Necon interemerat, hunc exulem tunc in Syria, postquam Æthiops ex insomnii visione abiit, reduxerunt ii Ægyptii qui sunt

σιλεύοντα τοδεύτερον πρὸς τῶν ἕνδεκα βασιλέων καταλαμβάνει μιν διὰ τὴν κυνέην φεύγειν ἐς τὰ ἕλεα. ἐπιστάμενος ὦν ὡς περιυβρισμένος εἴη πρὸς αὐτῶν, ἐπενόεε τίσασθαι τοὺς διώξαντας. πέμψαντι δέ οἱ ἐς Βουτοῦν πόλιν ἐς τὸ χρηστήριον τῆς Λητοῦς, ἔνθα δὴ Αἰγυπτίοισί ἐστι μαντήϊον ἀψευδέστατον, ἦλθε χρησμὸς, ὡς τίσις ἥξει ἀπὸ θαλάσσης χαλκέων ἀνδρῶν ἐπιφανέντων. καὶ τῷ μὲν δὴ ἀπιστίη μεγάλη ὑπεκέχυτο, χαλκέους οἱ ἄνδρας ἥξειν ἐπικούρους· χρόνου δὲ οὐ πολλοῦ διελθόντος, ἀναγκαίη κατέλαβε Ἴωνάς τε καὶ Κᾶρας ἄνδρας, κατὰ ληΐην ἐκπλώσαντας, ἀπενειχθῆναι ἐς Αἴγυπτον· ἐκβάντας δὲ ἐς γῆν, καὶ ὁπλισθέντας χαλκῷ, ἀγγέλλει τῶν τις Αἰγυπτίων ἐς τὰ ἕλεα ἀπικόμενος τῷ Ψαμμιτίχῳ, (ὡς οὐκ

---

e regione Saiti: deinde regnanti secunda vice ab undecim regibus contigit ei, ut in exilium iret propter illam galeam in paludes. Igitur intelligens quam ignominiose tractatus ab illis esset, statuit ultum ire qui ipsum persecuti essent. Itaque ex oraculo Latonæ, quod in urbe Buto apud Ægyptios veracissimum est, ad quod ipsi miserat, venit responsum, venturam ultionem e mari, quum viri ærei apparuissent. Quod responsum ei magnam incredulitatem suffudit, viros æreos ipsi in auxilium venturos. Non longo tempore interjecto, Iones quosdam et Cares prædandi gratia navigantes, necessitas compulit applicare ad Ægyptum. Hi quum in terram exissent ære armati, Ægy-

ἰδὼν πρότερον χαλκῷ ἄνδρας ὁπλισθέντας) ὡς χάλκεοι ἄνδρες ἀπιγμένοι ἀπὸ θαλάσσης λεηλατεῦσι τὸ πεδίον. ὁ δὲ, μαθὼν τὸ χρηστήριον ἐπιτελεύμενον, φίλα τε τοῖσι Ἴωσι καὶ Καρσὶ ποιέεται· καί σφεας, μεγάλα ὑπισχνεύμενος, πείθει μετ' ἑωϋτοῦ γενέσθαι. ὡς δὲ ἔπεισε, οὕτω ἅμα τοῖσι μετ' ἑωϋτοῦ βουλομένοισι Αἰγυπτίοισι, καὶ τοῖσι ἐπικούροισι, καταιρέει τοὺς βασιλέας.

ρνγ'. Κρατήσας δὲ Αἰγύπτου πάσης ὁ Ψαμμίτιχος, ἐποίησε τῷ Ἡφαίστῳ προπύλαια ἐν Μέμφι, τὰ πρὸς νότον ἄνεμον τετραμμένα· αὐλήν τε τῷ Ἄπι, ἐν τῇ τρέφεται ἐπεὰν φανῇ ὁ Ἄπις, οἰκοδόμησε, ἐναντίον τῶν προπυλαίων, πᾶσάν τε περίστυλον ἐοῦσαν, καὶ τύπων πλέην· ἀντὶ δὲ κιόνων, ὑπεστᾶσι κολοσ-

---

ptiorum quidam nuncium fert Psammiticho ad paludes, ut qui nunquam viderat viros ære armatos, appulsos e mari æreos viros campestria populari. Ille agnoscens oraculum esse impletum, amicitiam cum Ionibus et Caribus facit: eosque magnis pollicitationibus hortatur ad suas partes fovendas. Ubi persuasit, ita demum una cum iis Ægyptiis, qui secum sentiebant, cumque auxiliariis, reges sustulit.

153. Omni potitus Ægypto, fecit in Memphi Vulcano antefores ad ventum austrum vergentes, et aulam exstruxit Api, in qua Apis educatur, quum apparuerit, adversus antefores undique columnis cinctam, ac figuris refertam: cui aulæ stant suppositi loco columnarum

σοὶ δυωδεκαπήχεες τῇ αὐλῇ. ὁ δὲ Ἆπις κατὰ τὴν Ἑλλήνων γλῶσσαν ἐστὶ Ἔπαφος.

ρνδ΄. Τοῖσι δὲ Ἴωσι καὶ τοῖσι Καρσὶ τοῖσι συγκατεργασαμένοισι αὐτῷ, ὁ Ψαμμίτιχος δίδωσι χώρους ἐνοικῆσαι ἀντίους ἀλλήλων, τοῦ Νείλου τὸ μέσον ἔχοντος· τοῖσι οὐνόματα ἐτέθη Στρατόπεδα. τούτους τε δή σφι τοὺς χώρους δίδωσι, καὶ τἆλλα τὰ ὑπέσχετο πάντα ἀπέδωκε. καὶ δὴ καὶ παῖδας παρέβαλε αὐτοῖσι Αἰγυπτίους, τὴν Ἑλλάδα γλῶσσαν ἐκδιδάσκεσθαι. ἀπὸ δὲ τούτων ἐκμαθόντων τὴν γλῶσσαν, οἱ νῦν ἑρμηνέες ἐν Αἰγύπτῳ γεγόνασι. οἱ δὲ Ἴωνές τε καὶ οἱ Κᾶρες τούτους τοὺς χώρους οἴκησαν χρόνον ἐπὶ πολλόν. εἰσὶ δὲ οὗτοι οἱ χῶροι πρὸς θαλάσσης ὀλίγον ἔνερθε Βουβάστιος πόλεος, ἐπὶ τῷ Πηλουσίῳ καλεύ-

colossi duodenum cubitorum. Apis autem Græcorum lingua Epaphus est.

154. His Ionibus Caribusque, quibus fuerat usus adjutoribus, Psammitichus dedit ad habitandum opposita invicem prædia, Nilo medio dirempta, quibus nomina posita sunt Castra. Et cum hæc eis loca dedit, tum vero cetera quæ fuerat pollicitus omnia tradidit. Pueros quinetiam Ægyptios illis commisit lingua Græca imbuendos, a quibus linguam istam edoctis orti sunt nunc in Ægypto interpretes. Incoluerunt autem Iones et Cares hæc loca longo tempore, et sunt ea prope mare, paullum infra urbem Bubastin, ad ostium Nili quod dicitur Pelusiacum. Unde postea Amasis rex edu-

μενῳ στόματι τοῦ Νείλου. τούτους μέν δὴ χρόνῳ ὕστερον βασιλεὺς Ἄμασις ἐξαναστήσας, ἐνθεῦτεν κατοίκισε ἐς Μέμφιν, φυλακὴν ἑωϋτοῦ ποιεύμενος πρὸς Αἰγυπτίων. τούτων δὲ οἰκισθέντων ἐν Αἰγύπτῳ οἱ Ἕλληνες οὕτω ἐπιμισγόμενοι τούτοισι, τὰ περὶ Αἴγυπτον γινόμενα, ἀπὸ Ψαμμιτίχου βασιλῆος ἀρξάμενοι, πάντα καὶ τὰ ὕστερον ἐπιστάμεθα ἀτρεκέως. πρῶτοι γὰρ οὗτοι ἐν Αἰγύπτῳ ἀλλόγλωσσοι κατοικίσθησαν. ἐξ ὧν δὲ ἐξανέστησαν χώρων, ἐν τούτοισι δὴ οἵ τε ὁλκοὶ τῶν νεῶν καὶ τὰ ἐρείπια τῶν οἰκημάτων τὸ μέχρι ἐμεῦ ἦσαν. Ψαμμίτιχος μέν νυν οὕτω ἔσχε τὴν Αἴγυπτον.

ρνε΄. Τοῦ δὲ χρηστηρίου τοῦ ἐν Αἰγύπτῳ πολλὰ ἐπεμνήσθην ἤδη· καὶ δὴ λόγον περὶ αὐτοῦ ὡς ἀξίου ἐόντος ποιήσομαι. τὸ γὰρ χρηστήριον τοῦτο τὸ ἐν Αἰγύπτῳ, ἔστι μὲν Λη-

---

cens, Memphin eos transtulit in sui tutelam adversus Ægyptios. Post sedes ab istis in Ægypto collocatas, nos Græci cum illis ita commixti res circa Ægyptum a Psammiticho rege exorsi, et quæ deinceps extiterunt, omnia liquide cognita habemus. Hi enim primi Ægyptum, qui alterius linguæ essent, incoluerunt. Atque ex quibus locis demigrarunt, ibi et vestigia navalium, et domorum rudera, ad meam usque ætatem ostendebantur. Atque hunc quidem in modum Psammitichus Ægypto potitus est.

155. De oraculo autem quod est in Ægypto, cum feci multa verba, tum faciam, utpote quod dignum est. Etenim oraculum hoc in Ægypto, sacrum est La-

τοῦς ἱρὸν, ἐν πόλι δὲ μεγάλῃ ἱδρυμένον, κατὰ τὸ Σεβεννυτικὸν καλεόμενον στόμα τοῦ Νείλου, ἀναπλέοντι ἀπὸ θαλάσσης ἄνω. οὔνομα δὲ τῇ πόλι ταύτῃ, ὅκου τὸ χρηστήριον ἐστι, Βουτὼ, ὡς καὶ πρότερον οὐνόμασταί μοι. ἱρὸν δέ ἐστι ἐν τῇ Βουτοῖ ταύτῃ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. καὶ ὅ γε νηὸς τῆς Λητοῦς, ἐν τῷ δὴ τὸ χρηστήριον ἔνι, αὐτός τε τυγχάνει ἐὼν μέγας, καὶ τὰ προπύλαια ἔχει ἐς ὕψος δέκα ὀργυιέων. τὸ δὲ μοι τῶν φανερῶν θῶϋμα μέγιστον παρεχόμενον φράσω. ἔστι ἐν τῷ τεμένεϊ τούτῳ Λητοῦς νηὸς, ἐξ ἑνὸς λίθου πεποιημένος, ἔς τε ὕψος, καὶ ἐς μῆκος· καὶ τοῖχος ἕκαστος τούτοισι ἴσος· τεσσεράκοντα πήχεων τουτέων ἕκαστόν ἐστι. τὸ δὲ καταστέγασμα τῆς ὀροφῆς, ἄλλος ἐπικέεται λίθος, ἔχων τὴν παρωροφίδα τετράπηχυν.

---

tonæ, positum in magna urbe, cui nomen est, ut superius a me nominatum est, Buto, ad ostium Nili, quod Sebennyticum appellatur, ab mari flumen subeuntibus. In hac urbe templum est Apollinis Dianæque; et illud Latonæ, in quo redduntur oracula, tum ipsum grande est, tum antefores habet ad quadraginta cubitorum altitudinem. Ubi quid mihi ex iis, quæ in aperto erant, maximo miraculo fuerit, referam: Est in hoc fano Latonæ ædes ex uno facta lapide, quod ad longitudinem attinet ac altitudinem; et cujus paries quilibet his æqualis: unumquodque ex his est quadragenum cubitorum; cujus lacunari pro tecto impositus est alius lapis quatuor cubitorum per oras crassitudinis.

ρνϛʹ. Οὕτω μέν νυν ὁ νηὸς τῶν φανερῶν μοι τῶν περὶ τοῦτο τὸ ἱρόν ἐστι θωϋμαστότατον· τῶν δὲ δευτέρων, νῆσος ἡ Χέμμις καλευμένη, ἔστι μὲν ἐν λίμνῃ βαθέῃ καὶ πλατέῃ κειμένη παρὰ τὸ ἐν Βουτοῖ ἱρὸν, λέγεται δὲ ὑπ' Αἰγυπτίων αὕτη ἡ νῆσος εἶναι πλωτή. αὐτὸς μὲν ἔγωγε οὔτε πλέουσαν, οὔτε κινηθεῖσαν εἶδον. τέθηπα δὲ ἀκούων εἰ νῆσος ἀληθέως ἐστι πλωτή. ἐν δὴ ὦν ταύτῃ νηός τε Ἀπόλλωνος μέγας ἔνι, καὶ βωμοὶ τριφάσιοι ἐνιδρύαται. ἐμπεφύκασι δ' ἐν αὐτῇ φοίνικες συχνοὶ, καὶ ἄλλα δένδρεα, καὶ καρποφόρα καὶ ἄφορα πολλά. λόγον δὲ τόνδε ἐπιλέγοντες οἱ Αἰγύπτιοι, φασὶ εἶναι αὐτὴν πλωτήν· ὡς ἐν τῇ νήσῳ ταύτῃ οὐκ ἐούσῃ πρότερον πλωτῇ, Λητὼ, ἐοῦσα τῶν ὀκτὼ θεῶν τῶν πρώτων γενομένων, οἰκέουσα δὲ

---

156. Itaque eorum, quæ circa templum hoc sunt in propatulo posita, maxime admirabilis apud me fuit ista ædes. Secundo loco insula, quæ vocatur Chemmis, in lacu profundo ac spatioso sita propter templum, quod Buto est; quæ insula ab Ægyptiis fertur innarre. Ego tamen eam neque innantem vidi, neque motam; sed hoc audire admiratus sum, si quæ vere est insula natans. In hac igitur templum Apollinis magnum, et aræ triplices extructæ sunt, et palmæ frequentes in eadem enatæ: aliæque multæ partim fructiferæ, partim steriles arbores. Cur autem ea natans sit, hanc Ægyptii rationem reddunt: quod in hac insula olim non natante, Latona, quæ ex octo numinibus,

ἐν Βουτοῖ πόλι, ἵνα δή οἱ τὸ χρηστήριον τουτό ἐστι, Ἀπόλλωνα παρὰ Ἴσιος παρακαταθήκην δεξαμένη, δίεσωσε κατακρύψασα ἐν τῇ νῦν πλωτῇ λεγομένῃ νήσῳ, ὅτε τὸ πᾶν διζήμενος ὁ Τυφὼν ἐπῆλθε, θέλων ἐξευρεῖν τοῦ Ὀσίριος τὸν παῖδα. Ἀπόλλωνα δὲ, καὶ Ἄρτεμιν, Διονύσου καὶ Ἴσιος λέγουσι εἶναι παῖδας· Λητοῦν δὲ, τροφὸν αὐτοῖσι καὶ σώτειραν γενέσθαι. Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν, Ὧρος· Δημήτηρ δὲ, Ἶσις· Ἄρτεμις δὲ, Βούβαστις. ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου, Αἰσχύλος ὁ Εὐφορίωνος ἥρπασε τὸ ἐγὼ φράσω, μοῦνος δὴ ποιητέων τῶν προγενομένων. ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος· τὴν δὲ νῆσον διὰ τοῦτο γενέσθαι πλωτήν. ταῦτα μὲν οὕτω λέγουσι.

---

quæ prima extiterunt, unum est, quum in urbe Buto, ubi hoc ejus oraculum est, habitaret; Apollinem ab Iside instar depositi accipiens, occultavit in ea jam natante insula, ac sospitem reddidit; quo tempore Typhon, omnia indagans ut Osiris filium inveniret, advenisset. Nam Apollinem et Dianam aiunt Bacchi et Isidis liberos esse; Latonam vero, nutricem horum ac servatricem. Et Apollo quidem Ægyptiace Orus, Ceres autem Isis, Diana vero Bubastis. Atque ex hac narratione, non aliunde, Æschylus Euphorionis filius, rapuit quod dicam: ut solus omnium qui poëtæ antecesserunt, fecerit Dianam Cereris filiam: ideo vero insulam redditam esse natantem. Hæc quidem sic aiunt.

ρνζ΄. Ψαμμίτιχος δὲ ἐβασίλευσε Αἰγύπτου τέσσερα καὶ πεντήκοντα ἔτεα· τῶν τὰ ἑνὸς δέοντα τριήκοντα, Ἄζωτον, τῆς Συρίης μεγάλην πόλιν, προσκατήμενος ἐπολιόρκεε, ἐς τὸ ἐξεῖλε. αὕτη δὲ ἡ Ἄζωτος ἁπασέων πολίων ἐπὶ πλεῖστον χρόνον πολιορκευμένη ἀντέσχε, τῶν ἡμεῖς ἴδμεν.

ρνη΄. Ψαμμιτίχου δὲ Νεκὼς παῖς ἐγένετο, καὶ ἐβασίλευσε Αἰγύπτου, ὃς τῇ διώρυχι ἐπεχείρησε πρῶτος τῇ ἐς τὴν Ἐρυθρὴν θάλασσαν φερούσῃ, τὴν Δαρεῖος ὁ Πέρσης δεύτερα διώρυξε· τῆς μῆκος ἐστι μὲν πλόος ἡμέραι τέσσερες· εὖρος δὲ ὠρύχθη, ὥστε τριήρεας δύο πλέειν ὁμοῦ ἐλαστρευμένας. ἦκται δὲ ἀπὸ τοῦ Νείλου τὸ ὕδωρ ἐς αὐτήν. ἦκται δὲ κατύπερθε ὀλίγον Βουβάστιος πόλιος παρὰ Πάτουμον

---

157. Psammitichus vero in Ægypto quatuor et quinquaginta regnavit annos: per quorum undetriginta magnam Syriæ urbem obsidens oppugnavit, donec cepit. Hæc est Azotos, quæ diutissimam inter omnes urbes, quas novimus, sustinuit obsidionem.

158. Psammitichi filius, qui et regnum Ægypti suscepit, extitit NECUS, qui fossam in rubrum mare ferentem primus aggressus est, quam Darius Perses secundo loco, depressit; longitudinis quidem quatuor dierum navigationis; latitudinis, ut per eam duæ possent simul agi triremes. Aqua quæ in hanc e Nilo deducta est, paulo supra Bubastin urbem, juxta oppidum Arabiæ Patumon deducitur,

τὴν Ἀραβίην πόλιν. ἐσέχει δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν. ὤρυκται δὲ πρῶτον μὲν τοῦ πεδίου τοῦ Αἰγυπτίου τὰ πρὸς Ἀραβίην ἔχοντα. ἔχεται δὲ κατύπερθε τοῦ πεδίου τὸ κατὰ Μέμφιν τεῖνον ὄρος, ἐν τῷ αἱ λιθοτομίαι ἔνεισι. τοῦ ὦν δὴ οὔρεος τούτου παρὰ τὴν ὑπωρέην ἦκται ἡ διώρυξ ἀπ' ἑσπέρης μακρὴ πρὸς τὴν ἠῶ, καὶ ἔπειτα τείνει ἐς διασφάγας φέρουσα ἀπὸ τοῦ οὔρεος πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον, ἐς τὸν κόλπον τὸν Ἀράβιον. τῇ δὴ ἐλάχιστόν ἐστι καὶ συντομώτατον ἐκ τῆς Βορηΐης θαλάσσης ὑπερβῆναι ἐς τὴν Νοτίην καὶ Ἐρυθρὴν τὴν αὐτὴν ταύτην καλεομένην, ἀπὸ τοῦ Κασίου οὔρεος τοῦ οὐρίζοντος Αἴγυπτόν τε καὶ Συρίην, ἀπὸ τούτου εἰσὶ στάδιοι χίλιοι ἐς τὸν Ἀράβιον κόλπον. τοῦτο μὲν τὸ συντομώτατον· ἡ δὲ διώρυξ πολλῷ μακροτέρη, ὅσῳ

---

pertinens in mare rubrum. Initium fodiendi sumptum est a planitie Ægypti Arabiam versus, cui planitiei supra contiguus est extensus prope Memphin mons, in quo lapicidinæ sunt. Itaque juxta hujus montis radices ducta est fossa ab occidente orientem versus longo tractu: et deinde pertinet ad divortia, quæ ab monte ad meridiem et ventum austrum fert in sinum Arabicum. Qua sane brevissimus et maxime compendiarius est a mari septentrionali transitus ad australe et idem hoc rubrum vocatum; a monte Casio, qui Ægyptum Syriamque disterminat, stadia mille sunt in Arabicum sinum. Et hoc quidem brevissi-

σκολιωτέρη ἐστί· τὴν ἐπὶ Νεκῶ βασιλῆος ὀρύσσοντες Αἰγυπτίων ἀπώλοντο δυώδεκα μυριάδες. Νεκῶς μέν νυν μεταξὺ ὀρύσσων ἐπαύσατο, μαντηΐου ἐμποδίου γενομένου τοιοῦδε, τῷ βαρβάρῳ αὐτὸν προεργάζεσθαι. βαρβάρους δὲ πάντας οἱ Αἰγύπτιοι καλέουσι τοὺς μή σφι ὁμογλώσσους.

ρνθ΄. Παυσάμενος δὲ τῆς διώρυχος ὁ Νεκὼς, ἐτράπετο πρὸς στρατηΐας· καὶ τριήρεες, αἱ μὲν, ἐπὶ τῇ Βορηΐῃ θαλάσσῃ ἐποιήθησαν, αἱ δε ἐν τῷ Ἀραβίῳ κόλπῳ, ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ· τῶν ἔτι οἱ ὁλκοὶ ἐπίδηλοι. καὶ ταύτῃσί τε ἐχρέετο ἐν τῷ δέοντι· καὶ Σύροισι πεζῇ ὁ Νεκὼς συμβαλὼν ἐν Μαγδόλῳ ἐνίκησε· μετὰ δὲ τὴν μάχην, Κάδυτιν πόλιν τῆς Συριής ἐοῦσαν μεγάλην εἷλε. ἐν τῇ δὲ ἐσθῆτι ἔτυχε ταῦτα

---

mum est: verum fossa multo longior, scilicet quanto est magis inflexa. In qua fodienda sub rege Neco centum viginti millia Ægyptiorum perierunt. Inque ejus medio opere Necos destitit, hoc interpellatus oraculo, eum id opus barbaro præmunire. Ægyptii autem barbaros omnes vocant, qui non ipsorum lingua loquuntur.

159. Supersedens itaque a facienda fossa Necos, ad militares expeditiones se convertit; et naves bellicæ partim ad mare septentrionale, partim in sinu Arabico ad rubrum mare sunt perfectæ: quarum adhuc vestigia navalium clara. Et his, ubi opus fuit, utens, ac terrestri quidem acie congressus Necos cum Syris in Magdolo, victoria po-

κατεργασάμενος, ἀνέθηκε τῷ Ἀπόλλωνι, πέμψας ἐς Βραγχίδας τὰς Μιλησίων. μετὰ δὲ ἑκκαίδεκα ἔτεα τὰ πάντα ἄρξας, τελευτᾷ, τῷ παιδὶ Ψάμμι παραδοὺς τὴν ἀρχήν.

ρξʹ. Ἐπὶ τοῦτον δὴ τὸν Ψάμμιν βασιλεύοντα Αἰγύπτου ἀπίκοντο Ἠλείων ἄνδρες ἄγγελοι, αὐχέοντες δικαιότατα καὶ κάλλιστα τιθέναι τὸν ἐν Ὀλυμπίῃ ἀγῶνα πάντων ἀνθρώπων· καὶ δοκέοντες παρὰ ταῦτα οὐδ᾽ ἂν τοὺς σοφωτάτους ἀνθρώπων Αἰγυπτίους οὐδὲν ἐπεξευρεῖν. ὡς δὲ ἀπικόμενοι ἐς τὴν Αἴγυπτον οἱ Ἠλεῖοι ἔλεγον τῶν εἵνεκα ἀπίκοντο, ἐνθαῦτα ὁ βασιλεὺς οὗτος συγκαλέεται Αἰγυπτίων τοὺς λεγομένους εἶναι σοφωτάτους. συνελθόντες δὲ οἱ Αἰγύπτιοι, ἐπυνθάνοντο τῶν Ἠλείων, λεγόντων ἅπαντα τὰ κατήκει σφέας, ποιέειν

---

titus est, et post prœlium, Cadyti, magna Syriæ urbe. Vestem autem, in qua id peregit, Apollini dicavit, et ad Branchidas Milesiorum misit. Post id perfectis septem et decem omnino imperii sui annis decessit, tradito imperio PSAMMI filio.

160. Ad eum in Ægypto regnantem, nuncii quidam Eleorum advenerunt, jactantes in Olympia justissime ac pulcherrime inter mortales omnes proponi certamen, ita ut existimarent ne Ægyptios quidem hominum sapientissimos aliquid ultra hæc invenisse. Isti ubi in Ægyptum venientes ea exposuerunt, quorum gratia venerant, ibi tum iste rex convocavit ex Ægyptiis eos, qui sapientissimi haberentur. Qui quum conve-

περὶ τὸν ἀγῶνα· ἀπηγησάμενοι δὲ τὰ πάντα, ἔφασαν ἥκειν ἐπιμαθησόμενοι εἴ τι ἔχοιεν Αἰγύπτιοι τούτων δικαιότερον ἐπεξευρεῖν. οἱ δὲ, βουλευσάμενοι, ἐπειρώτων τοὺς Ἠλείους εἴ σφι οἱ πολιῆται ἐναγωνίζονται. οἱ δὲ ἔφασαν καὶ σφέων καὶ τῶν ἄλλων Ἑλλήνων ὁμοίως τῷ βουλομένῳ ἐξεῖναι ἀγωνίζεσθαι. οἱ δὲ Αἰγύπτιοι ἔφασαν, σφέας οὕτω τιθέντας, παντὸς τοῦ δικαίου ἡμαρτηκέναι. οὐδεμίην γὰρ εἶναι μηχανὴν ὅκως οὐ τῷ ἀστῷ ἀγωνιζομένῳ προσθήσονται, ἀδικέοντες τὸν ξεῖνον. ἀλλ' εἰ δὴ βούλονται δικαίως τιθέναι, καὶ τούτου εἵνεκα ἀπικοίατο ἐς Αἴγυπτον, ξείνοισι ἀγωνιστῇσι ἐκέλευον τὸν ἀγῶνα τιθέναι, Ἠλείων δὲ μηδενὶ εἶναι ἀγωνίζεσθαι. ταῦτα μὲν Αἰγύπτιοι Ἠλείοισι ὑπεθήκαντο.

---

nissent, et Eleos audissent omnia commemorantes, quæ par erat ab ipsis fieri in edendo certamine, et se venisse dicentes sciscitatum numquid possent Ægyptii reperire justius, habito inter se consilio, interrogarunt Eleos numquid apud eos certarent cives. Et illis respondentibus, sine discrimine et suorum et ceterorum Græcorum cuicunque volenti certare fas esse. Atqui, inquiunt, illos, quum tale certamen proponerent, ab omni jure recessisse. Nullo etenim pacto posse fieri, quin civi certanti cives faverent, facientes injuriam peregrino. Sed si vellent juste ponere, et ejus gratia venissent in Ægyptum, jusserunt peregrinis certatoribus ponere certamen, nullo Eleorum certare permisso. Hæc Ægyptii Eleos submonuerunt.

ρξα'. Ψάμμιος δὲ ἓξ ἔτεα μοῦνον βασιλεύσαντος Αἰγύπτου, καὶ στρατευσαμένου ἐς Αἰθιοπίην, καὶ μεταυτίκα τελευτήσαντος, ἐξεδέξατο Ἀπρίης ὁ Ψάμμιος· ὃς μετὰ Ψαμμίτιχον τὸν ἑωϋτοῦ προπάτορα ἐγένετο εὐδαιμονέστατος τῶν πρότερον βασιλήων, ἐπ' ἔτεα πέντε καὶ εἴκοσι ἄρξας. ἐν τοῖσι ἐπί τε Σιδῶνα στρατὸν ἤλασε, καὶ ἐναυμάχησε τῷ Τυρίῳ. ἐπεὶ δέ οἱ ἔδεε κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος, τὴν ἐγὼ μεζόνως μὲν ἐν τοῖσι Λιβυκοῖσι λόγοισι ἀπηγήσομαι, μετρίως δ' ἐν τῷ παρεόντι· ἀποπέμψας γὰρ στράτευμα ὁ Ἀπρίης ἐπὶ Κυρηναίους, μεγαλωστὶ προσέπταισε. Αἰγύπτιοι δὲ ταῦτα ἐπιμεμφόμενοι, ἀπέστησαν ἀπ' αὐτοῦ, δοκέοντες τὸν Ἀπρίην ἐκ προνοίης αὐτοὺς ἀποπέμψαι ἐς φαινό-

---

161. Psammis autem, quum sex tantum regnasset annos in Ægypto, facta in Æthiopiam expeditione, mox vita defunctus est. Cujus regnum APRIES filius accepit, qui post Psammitichum proavum suum, beatissimus extitit omnium ad eam ætatem regum, quinque et viginti dominatus annos. Quod intra tempus et bellum Sidoni intulit, et cum Tyrio pugna navali dimicavit. Sed quum deberet illi improspere cedere, contigit ab occasione, quam ego pluribus, dum res Libycas exsequar, exponam, paucis contentus in præsenti. Quum enim adversus Cyrenæos Apries, exercitu misso, magnam cladem accepisset, id ei imputantes Ægyptii rebellaverunt, opinati se

μενον κακὸν, ἵνα δή σφεων φθορὴ γένηται, αὐτὸς δὲ τῶν λοιπῶν Αἰγυπτίων ἀσφαλέστερον ἄρχοι. ταῦτα δὲ δεινὰ ποιεύμενοι οὗτοί τε οἱ ἀπονοστήσαντες, καὶ οἱ τῶν ἀπολομένων φίλοι, ἀπέστησαν ἐκ τῆς ἰθείης.

ρξϐʹ· Πυθόμενος δὲ ὁ Ἀπρίης ταῦτα, πέμπει ἐπ' αὐτοὺς Ἄμασιν καταπαύσοντα λόγοισι. ὁ δὲ, ἐπεί τε ἀπικόμενος κατελάμβανε τοὺς Αἰγυπτίους, ταῦτα μὴ ποιέειν λέγοντος αὐτοῦ, τῶν τις Αἰγυπτίων ὄπισθε στὰς περιέθηκέ οἱ κυνέην· καὶ περιτιθεὶς, ἔφη ἐπὶ βασιληΐῃ περιτιθέναι. καὶ τῷ οὔκως ἀεκούσιον ἐγένετο τὸ ποιεύμενον, ὡς διεδείκνυε· ἐπεί τε γὰρ ἐστήσαντό μιν βασιλέα τῶν Αἰγυπτίων οἱ ἀπεστεῶτες, παρεσκευάζετο ὡς ἐλῶν ἐπὶ τὸν Ἀπρίην. πυθόμενος δὲ ταῦτα ὁ Ἀ-

---

ab illo in apertam perniciem consulto fuisse dimissos: ut his internecione deletis, ipse ceteris Ægyptiis imperitaret securius. Hæc perquam graviter ferentes tum ii, qui redierunt, tum eorum qui interierant amici, palam desciverunt.

162. Id ubi rescivit Apries, mittit ad eos verbis sedandos Amasin. Qui quum pervenisset, reprehendensque dissuaderet ne talia facerent, quidam Ægyptiorum ei a tergo stans galeam circumdat: eaque circumdata, inquit se illam ob regnum imposuisse. Neque id eo invito factum fuit, ut ostendit: nam simulatque ab iis qui desciverant Ægyptiis declaratus est rex, sese apparabat tanquam adversus Aprien moturus. His

πρίης, ἔπεμπε ἐπ᾽ Ἄμασιν ἄνδρα δόκιμον τῶν περὶ ἑωϋτὸν Αἰγυπτίων, τῷ οὔνομα ἦν Πατάρβημις, ἐντειλάμενος αὐτῷ, ζῶντα Ἄμασιν ἀγαγεῖν παρ᾽ ἑωϋτόν. ὡς δὲ ἀπικόμενος ὁ Πατάρβημις, τὸν Ἄμασιν ἐκάλεε, ὁ Ἄμασις (ἔτυχε γὰρ ἐπ᾽ ἵππου κατήμενος) ἐπάρας ἀπεματάϊσε· καὶ τοῦτό μιν ἐκέλευσε Ἀπρίῃ ἀπάγειν· ὅμως δὲ αὐτὸν ἀξιοῦν τὸν Πατάρβημιν, βασιλέος μεταπεμπομένου, ἰέναι πρὸς αὐτόν· τὸν δὲ αὐτῷ ὑποκρίνεσθαι ὡς ταῦτα πάλαι παρεσκευάζετο ποιέειν, καὶ αὐτῷ οὐ μέμψασθαι Ἀπρίην, παρέσεσθαι γὰρ καὶ αὐτὸς, καὶ ἄλλους ἄξειν. τὸν δὲ Πατάρβημιν ἔκ τε τῶν λεγομένων οὐκ ἀγνοεῖν τὴν διάνοιαν· καὶ παρασκευαζόμενον ὁρέοντα σπουδῇ ἀπιέναι, βουλόμενον τὴν ταχίστην βασιλέϊ

---

cognitis Apries mittit ad Amasin ex iis qui secum erant Ægyptiis, spectatum quendam hominem, nomine Patarbemin, jussum ut ad se vivum Amasin perduceret. Hic ubi pervenit, Amasin ad se vocat. Amasis (sedebat enim in equo) elevans crus pepedit, et hoc jubet hunc adducere ad Aprien, et quum tamen Patarbemis eum rogaret, ut regem adiret accitus, respondit se jamdudum dare operam ut id ageret: nec de se Aprien esse questurum; se enim illi præsto futurum et alios ducturum. Patarbemis non ignarus sententiæ illius ex oratione, etiam apparatum quem curabat videns, abiit, statuens quam celerrime regem rerum quæ agerentur facere certiorem.

δηλῶσαι τὰ πρησσόμενα. ὡς δὲ ἀπικέσθαι αὐτὸν πρὸς τὸν Ἀπρίην οὐκ ἄγοντα τὸν Ἄμασιν, οὐδένα λόγον ἑωϋτῷ δόντα, ἀλλὰ περιθύμως ἔχοντα, περιταμεῖν προστάξαι αὐτοῦ τά τε ὦτα καὶ τὴν ῥῖνα. ἰδόμενοι δ' οἱ λοιποὶ τῶν Αἰγυπτίων, οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον, ἄνδρα τὸν δοκιμώτατον ἑωϋτῶν οὕτω αἰσχρῶς λύμῃ διακείμενον, οὐδένα δὴ χρόνον ἐπισχόντες, ἀπιστέατο πρὸς τοὺς ἑτέρους, καὶ ἐδίδοσαν σφέας αὐτοὺς Ἀμάσι.

ρξγ'. Πυθόμενος δὲ καὶ ταῦτα ὁ Ἀπρίης, ὥπλιζε τοὺς ἐπικούρους, καὶ ἤλαυνε ἐπὶ τοὺς Αἰγυπτίους. εἶχε δὲ περὶ ἑωϋτὸν Κᾶράς τε καὶ Ἴωνας, ἄνδρας ἐπικούρους τρισμυρίους. ἦν δέ οἱ τὰ βασιλήϊα ἐν Σάϊ πόλι μεγάλα ἐόντα, καὶ ἀξιοθέητα· καὶ οἵ τε περὶ τὸν Ἀπρίην

Huic redeunti, quod Amasin non duceret, nullo verbo edito Apries ira percitus præcidi aures nasumque jussit. Id intuentes ceteri Ægyptii, qui cum eo adhuc senserant, virum inter eos probatissimum ita fœde indigneque affectum, ne tantisper quidem differentes ad ceteros transeunt, seseque Amasi tradunt.

163. His quoque auditis Apries armatis auxiliariis (habebat autem auxiliariorum circa se ex Ionibus et Caribus triginta millia) in Ægyptios tendit. Erat autem ei regia, in urbe Sai, ingens ac spectatu digna. Itaque utrique adversus alterios tendebant, Apries cum suis contra Ægyptios, Amasis cum suis adversus peregrinos; et in Mo-

ἐπὶ τοὺς Αἰγυπτίους ἦσαν, καὶ οἱ περὶ τὸν Ἄμασιν, ἐπὶ τοὺς ξείνους. ἔν τε δὴ Μωμέμφι πόλι ἐγένοντο ἀμφότεροι, καὶ πειρήσεσθαι ἔμελλον ἀλλήλων.

ρξδ'. Ἔστι δὲ Αἰγυπτίων ἑπτὰ γένεα· καὶ τούτων, οἱ μὲν, ἱρέες, οἱ δὲ, μάχιμοι κεκλέαται· οἱ δὲ, βουκόλοι· οἱ δὲ, συβῶται· οἱ δὲ, κάπηλοι· οἱ δὲ, ἑρμηνέες· οἱ δὲ, κυβερνῆται. γένεα μὲν Αἰγυπτίων τοσαῦτά ἐστι. οὐνόματα δέ σφι κέεται ἀπὸ τῶν τεχνέων. οἱ δὲ μάχιμοι αὐτέων καλέονται μὲν Καλασίριές τε καὶ Ἑρμοτύβιες· ἐκ νομῶν δὲ τῶνδέ εἰσι· κατὰ γὰρ δὴ νομοὺς Αἴγυπτος ἅπασα διαραίρηται.

ρξε'. Ἑρμοτυβίων μὲν οἵδε εἰσὶ νομοί· Βουσιρίτης, Σαΐτης, Χεμμίτης, Παπρημίτης, νῆσος ἡ Προσωπῖτις καλεομένη, Ναθὼ τὸ ἥμισυ.

memphi urbe constiterunt tentaturi invicem.

164. Sunt autem Ægyptiorum septem genera: quorum alii sacerdotes, alii pugnatores appellantur, alii bubulci, alii subulci, alii institores, alii interpretes, alii gubernatores navales. Tot sunt Ægyptiorum genera, quibus a suis artibus sunt data nomina: sed ex iis pugnatores vocantur Calasiries, et Hermotybies, qui horum nomorum sunt: nam in nomos, *plagas*, distincta est omnis Ægyptus.

165. Hermotybium quidem hæ sunt plagæ, Busiritis, Saitis, Chemmitis, Papremitis, insula Prosopitis quæ vocatur, Natho

ἐκ μὲν τουτέων τῶν νομῶν Ἑρμοτύβιες εἰσὶ γενόμενοι, ὅτι ἐπὶ πλείστους γενοίατο, ἑκκαίδεκα μυριάδες. καὶ τούτων βαναυσίης οὐδεὶς δεδάηκε οὐδὲν, ἀλλ' ἀνέονται ἐς τὸ μάχιμον.

ρξϛ'. Καλασιρίων δὲ οἵδε ἄλλοι νομοί εἰσι· Θηβαῖος, Βουβαστίτης, Ἀφθίτης, Τανίτης, Μενδήσιος, Σεβεννύτης, Ἀθριβίτης, Φαρβαιθίτης, Θμουΐτης, Ὀνουφίτης, Ἀνύσιος, Μυεκφορίτης· οὗτος ὁ νομός ἐν νήσῳ οἰκέει, ἀντίον Βουβάστιος πόλιος. οὗτοι δὲ οἱ νομοὶ Καλασιρίων εἰσὶ γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγενέατο, πέντε καὶ εἴκοσι μυριάδες ἀνδρῶν. οὐδὲ τούτοισι ἔξεστι τέχνην ἐπασκῆσαι οὐδεμίην, ἀλλὰ τὰ ἐς πόλεμον ἐπασκέουσι μοῦνα, παῖς παρὰ πατρὸς ἐκδεκόμενος.

ρξζ'. Εἰ μέν νυν τοῦτα παρ' Αἰγυπτίων

---

ex dimidia parte. Ex his tractibus Hermotybies, quum plurimi, centum ac sexaginta millia sunt: quorum nemo quippiam opificii quæstuarii didicit, sed omnes rei militari vacant.

166. Calasirium hæ aliæ plagæ sunt, Thebana, Bubastitis, Aphthitis, Tanitis, Mendesia, Sebennytis, Athribitis, Pharbæthitis, Thmuitis, Onuphitis, Anysia, Myecphoritis. Hæc plaga insulam incolit ex adverso Bubastis urbis. Hæ plagæ Calasirium, qui quum ad plurimos redacti sunt, ducenta quinquaginta millia virorum sunt: quibus nec ipsis licet ulli arti operam dare, sed solum rei militari, filio discente a patre.

167. Hoc ab Ægyptiisne mutuati sint Græci, non possum

μεμαθήκασι οἱ Ἕλληνες, οὐκ ἔχω ἀτρεκέως κρῖναι· ὁρέων καὶ Θρήϊκας καὶ Σκύθας καὶ Πέρσας καὶ Λυδους, καὶ σχεδὸν πάντας τοὺς βαρβάρους, ἀποτιμοτέρους τῶν ἄλλων ἡγημένους πολϊητέων τοὺς τὰς τέχνας μανθάνοντας, καὶ τοὺς ἐκγόνους τούτων· τοὺς δὲ ἀπαλλαγμένους τῶν χειρωναξιέων, γενναίους νομιζομένους εἶναι, καὶ μάλιστα τοὺς ἐς τὸν πόλεμον ἀνειμένους. μεμαθήκασι δ' ὦν τοῦτο πάντες οἱ Ἕλληνες, καὶ μάλιστα Λακεδαιμόνιοι· ἥκιστα δὲ Κορίνθιοι ὄνονται τοὺς χειροτέχνας.

ρξή. Γέρεα δέ σφι ἦν τάδε ἐξαραιρημένα μούνοισι Αἰγυπτίων πάρεξ τῶν ἱρέων· ἄρουραι ἐξαίρετοι δυώδεκα ἑκάστῳ ἀτελέες. ἡ δὲ ἄρουρα ἑκατὸν πήχεων ἐστὶ Αἰγυπτίων πάντη. ὁ δὲ Αἰγύπτιος πῆχυς τυγχάνει ἶσος ἐὼν τῳ

liquide dijudicare, quum videam et apud Thracas et Scythas Persasque et Lydos, denique apud omnes fere barbaros haberi pro ignobilioribus civibus eos, qui artificia discunt, eorumque posteros: generosiores autem eos, qui a manuariis operibus abstineant, præsertim qui secernuntur ad bellum. Hoc itaque cum ceteri Græci omnes didicerunt, tum præcipue Lacedæmonii. Corinthii autem minime contemnunt opifices.

168. His solis Ægyptiorum præter sacerdotes hoc eximii honoris habebatur, ut singulis duodecim aruræ essent exemptæ et immunes: est autem arura centum cubitorum Ægyptiorum quoquoversus. Ægyptius vero cubitus Samio par est.

Σαμίῳ. ταῦτα μὲν δὴ τοῖσι ἅπασι ἦν ἐξαραιρημένα· τάδε δὲ ἐν περιτροπῇ ἐκαρποῦντο, καὶ οὐδαμᾶ ὠυτοί. Καλασιρίων χίλιοι, καὶ Ἑρμοτυβίων, ἐδορυφόρεον ἐνιαυτὸν ἕκαστοι τὸν βασιλέα· τούτοισι δ' ὦν τάδε πάρεξ τῶν ἀρουρέων ἄλλα ἐδίδοτο ἐπ' ἡμέρῃ ἑκάστῃ· ὀπτοῦ σίτου σταθμὸς πέντε μνέαι ἑκάστῳ, κρεῶν βοέων δύο μνέαι, οἴνου τέσσερες ἀρυστῆρες· ταῦτα τοῖσι αἰεὶ δορυφορέουσι ἐδίδοτο.

ρξθ'. Ἐπεί τε δὲ συνϊόντες, ὅ, τε Ἀπρίης, ἄγων τοὺς ἐπικούρους, καὶ ὁ Ἄμασις πάντας τοὺς Αἰγυπτίους, ἀπίκοντο ἐς Μώμεμφιν πόλιν, συνέβαλον· καὶ ἐμαχέσαντο μὲν εὖ οἱ ξεῖνοι, πλήθεϊ δὲ πολλῷ ἐλάσσονες ἐόντες, κατὰ τοῦτο ἑσσώθησαν. Ἀπρίεω δὲ λέγεται εἶναι ἥδε ἡ διάνοια, μηδ' ἂν θεόν μιν μηδένα δύνασ-

---

Hæc tamen universis illis exempta erant: istis vero per vices in orbem fruebantur, et nequaquam iidem. Calasirium milleni et Hermotybium per annos circa regem fungebantur singuli satellitum munere. Istis igitur præter aruras dabantur quovis die alia, panis tosti pondo quinæ minæ unicuique, carnis bubulæ binæ, vini sextarii quaterni. Hæc semper satellitibus præbebantur.

169. Ubi igitur e diverso venientes, Apries cum auxiliariis, Amasis cum universis Ægyptiis ad urbem Momemphin pervenere, congressi sunt. Et peregrini quidem egregie pugnaverunt; tamen quod erant multo inferiores numero, ea parte victi sunt. Fertur Apries ea fu-

θαι παῦσαι τῆς βασιληΐης· οὕτω ἀσφαλέως ἑωϋτῷ ἱδρύσθαι ἐδόκεε. καὶ δὴ τότε συμβαλὼν ἑσσώθη· καὶ ζωγρηθεὶς, ἀπήχθη ἐς Σάϊν πόλιν, ἐς τὰ ἑωϋτοῦ οἰκία πρότερον ἐόντα, τότε δὲ Ἀμάσιος ἤδη βασιλήϊα. ἐνθαῦτα δὲ τέως μὲν ἐτρέφετο ἐν τοῖσι βασιληΐοισι, καί μιν Ἄμασις εὖ περιεῖπε· τέλος δὲ, μεμφομένων Αἰγυπτίων ὡς οὐ ποιοῖ δίκαια, τρέφων τὸν σφισί τε καὶ ἑωϋτῷ ἔχθιστον, οὕτω δὴ παραδιδοῖ τὸν Ἀπρίην τοῖσι Αἰγυπτίοισι. οἱ δέ μιν ἀπέπνιξαν, καὶ ἔπειτα ἔθαψαν ἐν τῇσι πατρῴῃσι ταφῇσι. αἱ δέ εἰσι ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ἀγχοτάτω τοῦ μεγάρου, ἐσιόντι ἀριστερῆς χερός· ἔθαψαν δὲ Σαΐται πάντας τοὺς ἐκ νομοῦ τούτου γενομένους βασιλέας ἔσω ἐν τῷ ἱρῷ. καὶ γὰρ τὸ τοῦ Ἀμάσιος σῆμα, ἑ-

---

isse persuasione, ne deum quidem quemquam posse sibi adimere regnum: adeo videbatur sibi illud in stabili positum esse. Et tamen tunc congressus, prœlio victus est, vivusque captus ad urbem Sain ductus in ædes, quæ ipsius antea fuissent, tunc autem jam Amasis regia. Ibi aliquamdiu in regia alebatur, eumque Amasis honeste asservavit. Tandem incusantibus Ægyptiis non juste agere, qui ipsorum et suum inimicissimum aleret, ita illis Aprien tradidit. Eum isti ubi strangulavere, paternis in monumentis sepelierunt, quæ sunt in templo Minervæ, proxime ædem ad lævam manum intranti. Saitæ autem cunctos, qui ex illa sua præfectura fuere reges, intra templum sepelierunt. Etenim Amasis sepulchrum magis pro-

καστέρω μέν ἐστι τοῦ μεγάρου ἢ τὸ τοῦ Ἀπρίεω καὶ τῶν τούτου προπατόρων.

ρό. Ἔστι μέντοι καὶ τοῦτο ἐν τῇ αὐλῇ τοῦ ἱροῦ, παστὰς λιθίνη μεγάλη, καὶ ἠσκημένη στύλοισί τε φοίνικας τὰ δένδρεα μεμιμημένοισι, καὶ τῇ ἄλλῃ δαπάνῃ. ἔσω δὲ ἐν τῇ παστάδι διξὰ θυρώματα ἕστηκε· ἐν δὲ τοῖσι θυρώμασι ἡ θήκη ἐστί· εἰσὶ δὲ καὶ αἱ ταφαὶ τοῦ οὐκ ὅσιον ποιεῦμαι ἐπὶ τοιούτῳ πρήγματι ἐξαγορεύειν τοὔνομα, ἐν Σάϊ, ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ὄπισθε τοῦ νηοῦ, παντὸς τοῦ τῆς Ἀθηναίης ἐχόμεναι τοίχου· καὶ ἐν τῷ τεμένεϊ ὀβελοὶ ἑστᾶσι μεγάλοι λίθινοι· λίμνη τέ ἐστι ἐχομένη, λιθίνῃ κρηπῖδι κεκοσμημένη, καὶ ἐργασμένη εὖ κύκλῳ, καὶ μέγαθος, ὡς ἐμοὶ ἐδόκεε, ὅση περ ἡ ἐν Δήλῳ, ἡ τροχοειδὴς καλεομένη.

---

cul est ab æde, quam illud Apriæ ejusque progenitorum.

170. In ejus tamen templi aula hoc quoque est, ingens cubiculum lapideum, tum columnis excultum palmas arbores imitantibus, tum alio sumptu. Intra id cubiculum gemini postes stant, in quibus loculus est. Sunt etiam illius sepulcra, cujus nomen nuncupare hac in re, haud sanctum opinor, in urbe Sai in templo Minervæ post ædem, contigua toti parieti Minervæ: atque in fano stant ingentes ex lapide obeli, lacusque adest contiguus lapidea crepidine adornatus, et circum quaque probe eleboratus, magnitudine, ut mihi videbatur, quanta in Delo, qui dicitur orbicularis.

ροα΄. Ἐν δὲ τῇ λίμνῃ ταύτῃ τὰ δείκηλα τῶν παθέων αὐτοῦ νυκτὸς ποιεῦσι, τὰ καλέουσι μυστήρια Αἰγύπτιοι· περὶ μέν νυν τούτων, εἰδότι μοι ἐπὶ πλέον ὡς ἕκαστα αὐτέων ἔχει, εὔστομα κείσθω. καὶ τῆς Δήμητρος τελετῆς πέρι, τὴν οἱ Ἕλληνες θεσμοφόρια καλέουσι, καὶ ταύτης μοι πέρι εὔστομα κείσθω, πλὴν ὅσον αὐτῆς ὁσίη ἐστὶ λέγειν. αἱ Δαναοῦ θυγατέρες ἦσαν αἱ τὴν τελετὴν ταύτην ἐξ Αἰγύπτου ἐξαγαγοῦσαι, καὶ διδάξασαι τὰς Πελασγιώτιδας γυναῖκας· μετὰ δὲ, ἐξαναστάσης πάσης Πελοποννήσου ὑπὸ Δωριέων, ἐξαπώλετο ἡ τελετή. οἱ δὲ ὑπολειφθέντες Πελοποννησίων, καὶ οὐκ ἐξαναστάντες Ἀρκάδες, διέσωζον αὐτὴν μοῦνοι.

ροβ΄. Ἀπρίεω δὲ ὧδε καταραιρημένου, ἐβασίλευσε Ἄμασις, νομοῦ μὲν Σαΐτεω ἐών·

---

171. In hoc lacu imagines casuum ejus noctu faciunt, quæ vocant Ægyptii mysteria: de quibus cum plurimum ego norim, quo pacto habeant singula, tamen absit ut proloquar. De Cereris quoque initatione, quam Græci thesmophoria vocant *a ferendis legibus*, absit ut eloquar, nisi quatenus sanctum est de illa dicere. Danai filiæ ritum hunc ex Ægypto extulerunt, eoque Pelasgiotidas feminas imbuerunt. Sed deinde omni Peloponneso a Doriensibus excita ritus ille abolitus est, a solis Arcadibus, qui ex Peloponnesibus relicti sunt et non exciti, conservatus.

172. Apris sic sublato, regnavit AMASIS e præfectura Saitica, et urbe cui nomen est

ἐκ τῆς δὲ ἦν πόλιος, οὔνομά οἵ ἐστι Σιούφ. τὰ μὲν δὴ πρῶτα κατώνοντο τὸν Ἄμασιν Αἰγύπτιοι, καὶ ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον, ἅτε δὴ δημότην τοπρὶν ἐόντα, καὶ οἰκίης οὐκ ἐπιφανέος· μετὰ δὲ, σοφίῃ αὐτοὺς ὁ Ἄμασις, οὐκ ἀγνωμοσύνῃ προσηγάγετο· ἦν οἱ ἄλλα τε ἀγαθὰ μυρία, ἐν δὲ καὶ ποδανιπτὴρ χρύσεος· ἐν τῷ αὐτός τε ὁ Ἄμασις καὶ οἱ δαιτυμόνες οἱ πάντες τοὺς πόδας ἑκάστοτε ἐναπενιζέατο· τοῦτον κατ' ὦν κόψας, ἄγαλμα δαίμονος ἐξ αὐτοῦ ἐποιήσατο, καὶ ἵδρυσε τῆς πόλιος ὅκου ἦν ἐπιτηδεώτατον· οἱ δὲ Αἰγύπτιοι φοιτέοντες πρὸς τὤγαλμα, ἐσέβοντο μεγάλως· μαθὼν δὲ ὁ Ἄμασις τὸ ἐκ τῶν ἀστῶν ποιεύμενον, συγκαλέσας Αἰγυπτίους, ἐξέφηνε, φὰς ἐκ τοῦ ποδανιπτῆρος τὤγαλμα γεγονέναι, ἐς τὸν πρότερον μὲν τοὺς Αἰγυπτίους ἐνεμεῖν τε καὶ ἐν-

Siuph. Eum inter initia Ægyptii contemnere, nec ullius sane momenti ducere, ut qui plebeius paulo ante fuisset, nec insigni familia ortus. Eos vero postea Amasis solertia, non asperitate, conciliavit. Erant ei cum alia bona infinita, tum vero pelvis aurea, in qua tam ipse quam omnes convivæ identidem pedes abluebant: hanc ille confregit, ex eaque dæmonis statuam fecit, et in appositissimo urbis loco statuit. Ægyptii simulacrum adeuntes, magnopere venerari. Id Amasis fieri a popularibus edoctus, convocatis Ægyptiis aperit, ex illa pelvi, in qua prius Ægyptii evomere immingereque, et in qua pedes abluere consuessent, factum esse simulacrum, quod tunc tantopere ve-

ουρέειν, καὶ πόδας ἐναπονίζεσθαι, τότε δὲ μεγάλως σέβεσθαι. ἤδη ὦν ἔφη λέγων ὁμοίως αὐτὸς τῷ ποδανιπτῆρι πεπρηγέναι· εἰ γὰρ πρότερον εἶναι δημότης, ἀλλ' ἐν τῷ παρεόντι εἶναι αὐτέων Βασιλεύς· καὶ τιμᾶν τε καὶ προμηθέεσθαι ἑωϋτοῦ ἐκέλευε. τοιούτῳ μὲν τρόπῳ προσηγάγετο τοὺς Αἰγυπτίους, ὥστε δικαιοῦν δουλεύειν.

ρογ'. Ἐχρέετο δὲ καταστάσει πρηγμάτων τοιῇδε· τὸ μὲν ὄρθριον, μέχρι ὅτου πληθώρης ἀγορῆς, προθύμως ἔπρησσε τὰ προσφερόμενα πρήγματα· τὸ δὲ ἀπὸ τούτου ἔπινέ τε καὶ κατέσκωπτε τοὺς συμπότας· καὶ ἦν μάταιός τε καὶ παιγνιήμων. ἀχθεσθέντες δὲ τούτοισι οἱ φίλοι αὐτοῦ, ἐνουθέτεον αὐτὸν, τοιάδε λέγοντες, "Ὦ βασιλεῦ, οὐκ ὀρθῶς σεωϋτοῦ "προέστηκας, ἐς τὸ ἄγαν φαῦλον προάγων

---

nerarentur. Itaque suum aiebat idem atque pelvis esse fatum: etsi enim antehac fuisset plebeius, in præsenti tamen esse ipsorum regem, eoque jubere, ut sibi honor haberetur atque reverentia. Hunc in modum ad se traduxit Ægyptios, ita ut æquum censerent ei servire.

173. Idem hoc usus est in rebus agendis instituto: ab aurora usquedum refertum esset forum, accurate negocia oblata agebat: deinde potabat, et inter compotores jocabatur, morionem agens ac scurram. Quibus rebus offensi amici, talibus eum verbis monebant, Rex, dicentes, non e dignitate tua te contines, qui ad nimiam te pro-

" σεωϋτόν· σὲ γὰρ ἐχρῆν ἐν θρόνῳ σεμνῷ σε-
" μνὸν θωκέοντα, δι' ἡμέρης πρήσσειν τὰ πρή-
" γματα. καὶ οὕτω Αἰγύπτιοί τ' ἂν ἐπιστέα-
" το ὡς ὑπ' ἀνδρὸς μεγάλου ἄρχονται, καὶ
" ἄμεινον σὺ ἂν ἤκουες· νῦν δὲ ποιέεις οὐδα-
" μῶς βασιλικά." ὁ δ' ἀμείβετο τοισίδε αὐ-
τοὺς, " Τὰ τόξα οἱ κεκτημένοι, ἐπεὰν μὲν
" δέωνται χρέεσθαι, ἐντανύουσι· ἐπεὰν δὲ
" χρήσωνται, ἐκλύουσι, εἰ γὰρ δὴ τὸν πάντα
" χρόνον ἐντεταμένα εἴη, ἐκραγείη ἄν· ὥστε
" ἐς τὸ δέον οὐκ ἂν ἔχοιεν αὐτοῖσι χρέεσθαι.
" οὕτω δὴ καὶ ἀνθρώπου κατάστασις· εἰ ἐθέ-
" λοι κατεσπουδάσθαι αἰεὶ, μηδὲ ἐς παιγνίην
" τὸ μέρος ἑωϋτὸν ἀνιέναι, λάθοι ἂν ἤτοι μα-
" νεὶς, ἢ ὅγε ἀπόπληκτος γενόμενος. τὰ ἐγὼ
" ἐπιστάμενος, μέρος ἑκατέρῳ νέμω." ταῦτα
μὲν τοὺς φίλους ἀμείψατο.

---

jicis nequitiam. Nam deberes, venerando in solio sedens venerabilis, totum diem res administrare; ita et Ægyptii scirent a magno se viro regi, et tu melius audires. Nunc haudquaquam facis regia. His ille respondit; arcus illi qui obtinent, quum debent uti, intendunt; sed quando sunt usi, remittunt: si enim perpetuo intendantur, rumperentur, nec possent eis, quum res exigeret, uti: ita et hominis conditio est; si assiduo laborare studio, nec vicissim ad lusum vacare velit, pedetentim aut mente captus erit aut membris. Quod ego intelligens, utrique rei partem impertio. Hæc amicis respondit.

ρου. Λέγεται δὲ ὁ Ἄμασις, καὶ ὅτε ἦν ἰδιώτης, ὡς φιλοπότης ἐὼν καὶ φιλοσκώμμων, καὶ οὐδαμῶς κατεσπουδασμένος ἀνήρ· ὅκως δέ μιν ἐπιλείποι πίνοντά τε καὶ εὐπαθέοντα τὰ ἐπιτήδεια, κλέπτεσκε ἂν περιϊών. οἱ δ' ἄν μιν φάμενοι ἔχειν τὰ σφέτερα χρήματα, ἀρνεύμενον ἄγεσκον ἐπὶ μαντήϊον, ὅκου ἑκάστοισι εἴη. πολλὰ μὲν δὴ κατηλίσκετο ὑπὸ τῶν μαντηΐων, πολλὰ δὲ καὶ ἀποφεύγεσκε. ἐπεί τε δὲ καὶ ἐβασίλευσε, ἐποίησε τοιάδε· ὅσοι μὲν αὐτὸν τῶν θεῶν ἀπέλυσαν μὴ φῶρα εἶναι, τούτων μὲν τῶν ἱρῶν οὔτε ἐπεμέλετο, οὔτε ἐς ἐπισκευὴν ἐδίδου οὐδέν· οὐδὲ φοιτέων ἔθυε, ὡς οὐδενὸς ἐοῦσι ἀξίοισι, ψεύδεά τε μαντήϊα κεκτημένοισι· ὅσοι δέ μιν κατέδησαν φῶρα εἶναι, τούτων δὲ ὡς ἀληθέως θεῶν ἐόντων καὶ

---

174. Etenim fertur Amasis, quum privatus foret, fuisse potandi jocandique per dicteria studiosus, et vir neutiquam serius: et quum eum potantem ac voluptates sectantem necessaria defecissent, solitus circumeundo furari: illi vero dicentes eum ipsorum habere pecunias, negantem adducebant ad oraculum quodcunque eo in loco erat. Frequenter ab oraculis convictus, frequenter absolutus. Postquam vero etiam assequutus est regnum, ista egit: quicunque dii eum furti absolverant, horum templa neque curæ habuit, neque ulla re ad refectionem donavit, neque adiens sacrificavit, tanquam nihil mererentur, quod obtinerent falsa oracula: quicunque autem eum alligaverant

ἀψευδέα μαντήϊα παρεχομένων, ταμάλιστα ἐπεμέλετο.

ροέ. Καὶ τοῦτο μὲν, ἐν Σάϊ τῇ Ἀθηναίῃ προπύλαια θωϋμάσιά οἱ ἐξεποίησε, πολλὸν πάντας ὑπερβαλλόμενος τῷ τε ὕψεϊ καὶ τῷ μεγάθεϊ, ὅσων τε τὸ μέγαθος λίθων ἐστὶ, καὶ ὁκοίων τέων· τοῦτο δὲ, κολοσσοὺς μεγάλους καὶ ἀνδρόσφιγγας περιμήκεας ἀνέθηκε· λίθους τε ἄλλους ἐς ἐπισκευὴν ὑπερφυέας τὸ μέγαθος ἐκόμισε. ἠγάγετο δὲ τουτέων τοὺς μὲν, ἐκ τῶν κατὰ Μέμφιν ἐουσέων λιθοτομιέων· τοὺς δὲ ὑπερμεγάθεας, ἐξ Ἐλεφαντίνης πόλιος, πλόον καὶ εἴκοσι ἡμερέων ἀπεχούσης ἀπὸ Σάϊος. τὸ δὲ οὐκ ἥκιστα αὐτέων, ἀλλὰ μάλιστα θωϋμάζω, ἔστι τόδε· οἴκημα μουνόλιθον ἐκόμισε ἐξ Ἐλεφαντίνης πόλιος· καὶ τοῦτο ἐ-

---

furti crimine, hos tanquam vere deos, nec mendacia reddentes oracula, maxime coluit.

175. Itaque partim in Sai Minervæ fecit antefores, opus admirandum longe superans omnes tum sublimitate, tum magnitudine, et quantorum est magnitudo lapidum atque qualium eorum: partim ingentes colossos, et immanes androsphingas posuit. Alia quoque saxa prægrandia ad reficiendum curavit, ducta partim e lapicidinis, quæ juxta Memphim sunt, partim utique quæ maximæ molis sunt, ex urbe Elephantina, quæ Sai distat viginti dierum navigatione. Ad hæc, quod non minime, sed maxime omnium admiror, attulit ædificium ex solido saxo ab urbe Elephantina, in quo af-

κόμιζον μὲν ἐπ' ἔτεα τρία, δισχίλιοι δέ οἱ προσετετάχατο ἄνδρες ἀγωγέες, καὶ οὗτοι ἅπαντες ἦσαν κυβερνῆται. τῆς δὲ στέγης ταύτης τὸ μὲν μῆκος ἔξωθέν ἐστι, εἷς τε καὶ εἴκοσι πήχεες· εὖρος δὲ, τεσσερεσκαίδεκα· ὕψος δὲ, ὀκτώ. ταῦτα μὲν τὰ μέτρα ἔξωθεν τῆς στέγης τῆς μουνολίθου ἐστί. ἀτὰρ ἔσωθεν τὸ μῆκος, ὀκτωκαίδεκα πήχεων, καὶ πυγόνος· τὸ δὲ εὖρος, δυώδεκα πήχεων· τὸ δὲ ὕψος, πέντε πήχεων ἐστί. αὕτη τοῦ ἱροῦ κέεται παρὰ τὴν ἔσοδον· ἔσω γάρ μιν ἐς τὸ ἱρόν φασι τῶνδ' εἵνεκα οὐκ ἐσελκύσαι. τὸν ἀρχιτέκτονα, αὐτῆς ἑλκομένης τῆς στέγης, ἀναστενάξαι, οἷά τε χρόνου ἐκγεγονότος πολλοῦ, καὶ ἀχθόμενον τῷ ἔργῳ· τὸν δὲ Ἄμασιν, ἐνθυμιστὸν ποιησάμενον, οὐκ ἐᾶν ἔτι προσωτέρω ἑλκύσαι. ἤδη δέ

---

ferendo triennium consumpserunt duo millia ductorum virorum, qui omnes erant gubernatores. Hujus autem tecti extrinsecus est unius et viginti cubitorum longitudo: quatuordecim, latitudo: octo, altitudo. Hæc est dimensio exterior tecti ex uno lapide. Introrsum autem duodeviginti cubitorum et xx digitorum est longitudo; latitudo vero cubitorum duodecim, quinque sublimitas. Tectum hoc ad ingressum templi collocatum est; nam ob id aiunt in templum non fuisse pertractum ab architecto, quod quum suspirasset ille dum istud adtraheretur, utpote pertæsus diutini temporis operæ, id advertens Amasis non permisit ulterius trahere. Nonnulli aiunt quen-

τινες λέγουσι ὡς ἄνθρωπος διεφθάρη ὑπ' αὐτῆς τῶν τις αὐτὴν μοχλευόντων, καὶ ἀπὸ τούτου οὐκ ἐσελκυσθῆναι.

ρος'. Ἀνέθηκε δὲ καὶ ἐν τοῖσι ἄλλοισι ἱροῖσι ὁ Ἄμασις πᾶσι τοῖσι ἐλλογίμοισι ἔργα τὸ μέγαθος ἀξιοθέητα. ἐν δὲ καὶ ἐν Μέμφι, τὸν ὕπτιον κείμενον κολοσσὸν, τοῦ Ἡφαιστείου ἔμπροσθε· τοῦ πόδες πέντε καὶ ἑβδομήκοντά εἰσι τὸ μῆκος. ἐπὶ δὲ τῷ αὐτῷ βάθρῳ ἑστᾶσι, Αἰθιοπικοῦ ἐόντος λίθου, δύο κολοσσοὶ, εἴκοσι, ποδῶν τὸ μέγαθος ἐὼν ἑκάτερος· ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν τοῦ μεγάρου. ἔστι δὲ λίθινος ἕτερος τοσοῦτος καὶ ἐν Σάϊ, κείμενος κατὰ τὸν αὐτὸν τρόπον τῷ ἐν Μέμφι. τῇ Ἴσι τε τὸ ἐν Μέμφι ἱρὸν Ἄμασίς ἐστι ὁ ἐξοικοδομήσας, ἐὸν μέγα τε καὶ ἀξιοθεητότατον.

---

dam ex iis, qui vectibus tectum agebant, ab illo fuisse oppressum, ideoque non introductum.

176. Donavit præterea operibus ob magnitudinem spectatu dignis cum alia omnia templa insignia, tum in Memphi colosso supino ante templum Vulcani posito, longitudinis quinque et septuaginta pedum. Superque idem fundamentum gemini colossi stant ex Æthiopico lapide, vicenum pedum magnitudinis quilibet, hinc et hinc ædi illi assistentes: quorum instar est alter in Sai lapideus, eodem, quo hi in Memphi, habitu jacens. Illud etiam quod in Memphi est templum Isidis ingens et spectatu dignissimum, Amasis est qui exædificavit.

ροζ΄. Ἐπ᾽ Ἀμάσιος δὲ βασιλῆος λέγεται Αἴγυπτος μάλιστα δὴ τότε εὐδαιμονῆσαι, καὶ τὰ ἀπὸ τοῦ ποταμοῦ τῇ χώρῃ γινόμενα, καὶ τὰ ἀπὸ τῆς χώρης τοῖσι ἀνθρώποισι. καὶ πόλις ἐν αὐτῇ γενέσθαι τὰς ἁπάσας τότε δισμυρίας τὰς οἰκεομένας. νόμον τε Αἰγυπτίοισι τόνδε Ἄμασίς ἐστι ὁ καταστήσας· ἀποδεικνύναι ἔτεος ἑκάστου τῷ νομάρχῃ πάντα τινὰ Αἰγυπτίων, ὅθεν βιοῦται· μηδὲ ποιεῦντα ταῦτα, μηδὲ ἀποφαίνοντα δικαίην ζόην, ἰθύνεσθαι θανάτῳ. Σόλων δὲ ὁ Ἀθηναῖος λαβὼν ἐξ Αἰγύπτου τοῦτον τὸν νόμον, Ἀθηναίοισι ἔθετο· τῷ ἐκεῖνοι ἐς αἰεὶ χρέονται, ἐόντι ἀμώμῳ νόμῳ.

ροη΄. Φιλέλλην δὲ γενόμενος ὁ Ἄμασις, ἄλλα τε ἐς Ἑλλήνων μετεξετέρους ἀπεδέξατο, καὶ δὴ καὶ τοῖσι ἀπικνευμένοισι ἐς Αἴ-

177. Sub Amasi rege dicitur Ægyptus fuisse maxime tunc beata, in iis quæ vel regioni ex flumine, vel hominibus ex regione proveniunt, et urbes, quæ incolerentur tunc, fuisse omnes numero illic viginti millia. Amasis quoque extitit, qui legem hanc Ægyptiis præscripsit, ut singulis annis apud regionis præsidem Ægyptii omnes demonstrarent unde viverent: et qui aut hoc non faceret, aut non demonstraret legitimam vitam, is morte afficeretur. Quam legem Solon ab Ægypto mutuatus, Atheniensibus tulit, quam illi, quod sit irreprehensa, assidue usurpant.

178. Amasis porro, quoniam Græcorum erat studiosus, cum alia in quosdam Græcos officia contulit, tum iis, qui in Ægyptum concederent, dedit facul-

γυπτον ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι. τοῖσι δὲ μὴ βουλομένοισι αὐτέων οἰκέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι, ἔδωκε χωρίοις ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι. τὸ μέν νυν μέγιστον αὐτέων τέμενος, καὶ οὐνομαστότατον ἐὸν καὶ χρησιμώτατον, καλεύμενον δὲ Ἑλλήνιον, αἵδε πόλις εἰσὶ αἱ ἱδρυμέναι κοινῇ, Ἰώνων μὲν, Χῖος, καὶ Τέως, καὶ Φώκαια, καὶ Κλαζομεναί· Δωριέων δὲ, Ῥόδος, καὶ Κνίδος, καὶ Ἁλικαρνησσὸς, καὶ Φάσηλις· Αἰολέων δὲ, ἡ Μιτυληναίων μούνη. τουτέων μέν ἐστι τοῦτο τὸ τέμενος, καὶ προστάτας τοῦ ἐμπορίου αὗται αἱ πόλις εἰσὶ αἱ παρέχουσαι. ὅσαι δὲ ἄλλαι πόλις μεταποιεῦνται, οὐδέν σφι μετεὸν μεταποιεῦνται. χωρὶς δὲ, Αἰγινῆται ἐπ᾽ ἑωϋτῶν ἱδρύσαντο τέμενος Διός·

---

tatem Naucratin urbem incolendi; qui vero eorum nollent illic habitare, sed navigandi commercio frui, fecit potestatem certis locis aras et fana diis inædificandi. Et maximum quidem eorum fanum ac præcipue famigeratum atque celeberrimum vocatur Hellenium, *Græcum:* civitates autem, quæ communiter illud extruxerunt, sunt Ionum quidem, Chius, Teus, Phocæa, Clozomenæ: Doriensium autem, Rhodus, Cnidus, Halicarnassus, Phaselis: Æolensium vero, una Mitylene. Harum civitatum hoc fanum est, et ab his prræfecti emporii præbentur. Ceteræ civitates, quæ consortes hujus rei esse volunt, rem ad ipsos minime pertinentem vindicant. Separatim tamen

καὶ ἄλλο Σάμιοι, Ἥρης· καὶ Μιλήσιοι, Ἀπόλλωνος.

ροθ´ Ἦν δὲ τοπαλαιὸν μούνη ἡ Ναύκρατις ἐμπόριον, καὶ ἄλλο οὐδὲν Αἰγύπτου. εἰ δέ τις ἐς τῶν τι ἄλλο στομάτων τοῦ Νείλου ἀπίκοιτο, χρῆν ὀμόσαι, μὴ μὲν ἑκόντα ἐλθεῖν· ἀπομόσαντα δὲ, τῇ νηῒ αὐτῇ πλέειν ἐς τὸ Κανωβικόν· ἢ εἰ μή γε οἷά τε εἴη πρὸς ἀνέμους ἀντίους πλέειν, τὰ φορτία ἔδεε περιάγειν ἐν βάρισι περὶ τὸ Δέλτα, μέχρι οὗ ἀπίκοιτο ἐς Ναύκρατιν· οὕτω μὲν δὴ Ναύκρατις ἐτετίμητο.

ρπ´. Ἀμφικτυόνων δὲ μισθωσάντων τὸν ἐν Δελφοῖσι νῦν ἐόντα νηὸν τριηκοσίων ταλάντων ἐξεργάσθαι· ὁ γὰρ πρότερον ἐὼν αὐτόθι, αὐτομάτως κατεκάη· τοὺς Δελφοὺς δὲ ἐπέβαλε

ædificaverunt Æginetæ fanum Jovis; et Samii aliud, Junonis; Milesii quoque Apollinis.

179. Nam emporium erat antiquitus sola Naucratis: præter hoc in Ægypto aliud nullum. Quod siquis in aliud aliquod Nili ostium applicuisset, is necesse habebat dejerare se venisse non volentem, datoque jurejurando eadem navi ad Canobicum navigare; et, si id minus per contrarios ventos posset, onera fluvialibus, navigiis circumagere circa Delta, donec perveniret Naucratin; ita Naucratis in honore erat.

180. Jam vero quum Amphictyones templum, quod nunc Delphis est, trecentis talentis construendum locassent: nam illud prius sua sponte deflagra-

τεταρτημόριον τοῦ μισθώματος παρασχεῖν· πλανώμενοι δὲ οἱ Δελφοὶ περὶ τὰς πόλις, ἐδωτίναζον· ποιεῦντες δὲ τοῦτο, οὐκ ἐλάχιστον ἐξ Αἰγύπτου ἠνείκαντο. Ἄμασις μὲν γάρ σφι ἔδωκε χίλια στυπτηρίης τάλαντα· οἱ δὲ ἐν Αἰγύπτῳ οἰκέοντες Ἕλληνες, εἴκοσι μνέας.

ρπα΄. Κυρηναίοισι δ' ἐς ἀλλήλους φιλότητά τε καὶ συμμαχίην συνεθήκατο. ἐδικαίωσε δέ καὶ γῆμαι αὐτόθεν, εἴτ' ἐπιθυμήσας Ἑλληνίδος γυναικὸς, εἴτε καὶ ἄλλως φιλότητος Κυρηναίων εἵνεκα. γαμέει δ' ὦν, οἱ μὲν λέγουσι Βάττεω, οἱ δ' Ἀρκεσίλεω θυγατέρα, οἱ δὲ, Κριτοβούλου, ἀνδρὸς τῶν ἀστῶν δοκίμου· τῇ οὔνομα ἦν Λαδίκη. τῇ ἐπεί τε συγκλίνοιτο ὁ Ἄμασις, μίσγεσθαι οὐκ οἷός τε ἐγένετο· τῇσι δὲ ἄλλῃσι γυναιξὶ ἐχρέετο. ἐ-

---

verat; Delphis autem imperata erat locationis quarta pars: tum Delphi, circa civitates vagi, et dona colligentes, non minimum ex Ægypto retulerunt; nam Amasis quidem eis mille talenta aluminis, Græci autem, qui Ægyptum incolebant, vicenas minas donaverunt.

181. Cyrenæis quoque amicitiam societatemque inter ipsos constituit, ita ut illinc uxorem etiam putaret sibi esse ducendam, sive feminæ Græcæ amore captus, sive alias ob benevolentiam Cyrenæorum. Uxorem quam duxit, alii volunt filiam fuisse Batti, alii Arcesilai, alii Critobuli, inter suos populares viri spectati, nomine Ladicen: cum qua, dum Amasis in toro cubaret, coire non poterat, quum

πεί τε δὲ πολλὸν τοῦτο ἐγίνετο, εἶπε δὴ ὁ Ἄμασις πρὸς τὴν Λαδίκην ταύτην καλεομένην, "Ὦ γύναι, κατά με ἐφάρμαξας, καὶ ἔστί "τοι οὐδεμία μηχανὴ μὴ οὐκ ἀπολωλέναι "κάκιστα γυναικέων πασέων." ἡ δὲ Λαδίκη, ἐπεί τε οἱ ἀρνευμένῃ οὐδὲν ἐγένετο πρηΰτερος ὁ Ἄμασις, εὔχεται ἐν τῷ νηῷ τῇ Ἀφροδίτῃ, ἤν οἱ ἐπ' ἐκείνην τὴν νύκτα μιχθῇ ὁ Ἄμασις, τοῦτο γάρ οἱ κακοῦ εἶναι μῆχος, ἄγαλμά οἱ ἀποπέμψειν ἐς Κυρήνην. μετὰ δὲ τὴν εὐχὴν αὐτίκα οἱ ἐμίχθη ὁ Ἄμασις· καὶ τὸ ἐνθεῦτεν ἤδη ὁκότε ἔλθοι πρὸς αὐτὴν, ἐμίσγετο· καὶ κάρτα μιν ἔστερξε μετὰ τοῦτο. ἡ δὲ Λαδίκη ἀπέδωκε τὴν εὐχὴν τῇ θεῷ. ποιησαμένη γὰρ ἄγαλμα, ἀπέπεμψε ἐς Κυρήνην, τὸ ἔτι καὶ ἐς ἐμὲ ἦν σόον, ἔξω τετραμμένον

---

tamen aliis mulieribus uteretur. Id quum diu fieret, ad eam nomine Ladicen Amasis, Tu vero, inquit, uxor veneficio me læsisti: ideoque nullo pacto vales effugere, quominus inter omnes mulieres teterrima pereas morte. Ladice, quum pernegando nihilo placatiorem redderet Amasin, vovit in templo Veneri, si ea nocte secum coiret Amasis hoc enim sibi mali esse remedium, statuam Cyrenas se illi missuram. Facto autem voto, coiit statim cum ea Amasis, ac deinceps quoties adiret, cum ea coibat: ac postmodum eam perquam dilexit. Et Ladice votum deæ persolvit, facta statua Cyrenasque missa, quæ ad meam usque memoriam incolumis erat, extra urbem Cyre-

τοῦ Κυρηναίων ἄστεος. ταύτην τὴν Λαδίκην, ὡς ἐπεκράτησε Καμβύσης Αἰγύπτου, καὶ ἐπύθετο αὐτῆς ἥ τις εἴη, ἀπέπεμψε ἀσινέα ἐς Κυρήνην.

ρπβʹ. Ἀνέθηκε δὲ καὶ ἀναθήματα ὁ Ἄμασις ἐς τὴν Ἑλλάδα· τοῦτο μὲν, ἐς Κυρήνην ἄγαλμα ἐπίχρυσον Ἀθηναίης, καὶ εἰκόνα ἑωϋτοῦ γραφῇ εἰκασμένην· τοῦτο δὲ, τῇ ἐν Λίνδῳ Ἀθηναίῃ δύο τε ἀγάλματα λίθινα, καὶ θώρηκα λίνεον ἀξιοθέητον· τοῦτο δ', ἐς Σάμον τῇ Ἥρῃ εἰκόνας ἑωϋτοῦ διφασίας ξυλίνας, αἳ ἐν τῷ νηῷ τῷ μεγάλῳ ἱδρύατο ἔτι καὶ τὸ μέχρις ἐμεῦ, ὄπισθε τῶν θυρέων. ἐς μέν νυν Σάμον ἀνέθηκε κατὰ ξεινίην τὴν ἑωϋτοῦ τε καὶ Πολυκράτεος τοῦ Αἰάκεος· ἐς δὲ Λίνδον, ξεινίης μὲν οὐδεμιῆς εἵνεκεν· ὅτι δὲ τὸ ἱρὸν τὸ

---

nensem posita. Hanc Ladicen Cambyses, posteaquam Ægypto potitus est, cognito quænam esset, Cyrenas illæsam remisit.

182. Dicavit item Amasis dona in Græciam: partim quidem Cyrenas, statuam Minervæ inauratam, et sui imaginem pictura adsimulatam: partim autem Minervæ Lindi duo lapidea simulacra, et thoracem lineum spectaculo dignum: sed et in insulam Samum, Junoni duplices sui imagines ligneas, quæ magno in templo erectæ erant post januas, ad meam usque ætatem. Samum quidem, propter hospitium, quod inter ipsum erat et Polycratem Æacis filium: Lindum autem, nullius quidem hospitii gratia, sed quia

ἐν Λίνδῳ τὸ τῆς Ἀθηναίης λέγεται τὰς τοῦ Δαναοῦ θυγατέρας ἱδρῦσθαι προσχούσας, ὅτε ἀπεδίδρησκον τοὺς Αἰγύπτου παῖδας. ταῦτα μὲν ἀνέθηκε ὁ Ἄμασις. εἷλε δὲ Κύπρον πρῶτος ἀνθρώπων, καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν.

---

templum quod Lindi est Minervæ feruntur extruxisse Danai filiæ, illuc appellentes, quum filios Ægypti fugerent. Hæc quidem donaria dedicavit Amasis, primusque mortalium Cyprum cepit, et compulit ad tributi solutionem.

Θ Α Λ Ε Ι Α.

ΗΡΟΔΟΤΟΥ

ΑΛΙΚΑΡΝΗΣΣΗΟΣ

ΙΣΤΟΡΙΩΝ

ΤΡΙΤΗ,

ΕΠΙΓΡΑΦΟΜΕΝΗ

ΘΑΛΕΙΑ.

Ἐπὶ τοῦτον δὴ τὸν Ἄμασιν Καμβύσης ὁ Κύρου ἐστρατεύετο, ἄγων καὶ ἄλλους, τῶν ἦρχε, καὶ Ἑλλήνων Ἴωνάς τε καὶ Αἰολεας, δι' αἰτίην τοιήνδε. Πέμψας Καμβύσης ἐς Αἴγυπτον κήρυκα, αἴτεε Ἄμασιν θυγατέ-

HERODOTI

HALICARNASSEI

HISTORIARUM

LIBER TERTIUS,

QUI INSCRIBITUR

THALIA.

ADVERSUS hunc Amasin CAMBYSES Cyri filius, comparato cum ex aliis quibus imperabat, tum ex Græcis Ionibus Æolensibus que exercitu, bellum movit ob hanc causam. Misso in Ægyptum legato, Cambyses petiit ab Amasi filiam; et petiit co-

ρα· αἴτεε δὲ ἐκ συμβουλίης ἀνδρὸς Αἰγυπτίου, ὅς μεμφόμενος Ἄμασιν, ἔπρηξε ταῦτα, ὅτι μιν ἐξ ἁπάντων τῶν ἐν Αἰγύπτῳ ἰητρῶν ἀποσπάσας ἀπὸ γυναικός τε καὶ τέκνων, ἔκδοτον ἐποίησε ἐς Πέρσας, ὅτε Κῦρος πέμψας παρὰ Ἄμασιν αἴτεε ἰητρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος τῶν ἐν Αἰγύπτῳ. ταῦτα δὴ ἐπιμεμφόμενος ὁ Αἰγύπτιος, ἐνῆγε τῇ συμβουλίῃ, κελεύων αἰτέειν τὸν Καμβύσεα Ἄμασιν θυγατέρα· ἵνα ἢ δοὺς ἀνιῷτο, ἢ μὴ δοὺς, Καμβύσῃ ἀπέχθοιτο. ὁ δὲ Ἄμασις τῇ δυνάμει τῶν Περσέων ἀχθόμενος καὶ ἀῤῥωδέων, οὐκ εἶχε οὔτε δοῦναι οὔτε ἀρνήσασθαι. εὖ γὰρ ἠπίστατο, ὅτι οὐκ ὡς γυναῖκά μιν ἔμελλε Καμβύσης ἕξειν, ἀλλ' ὡς παλλακήν. ταῦτα δὴ ἐκλογιζόμενος, ἐποίησε τάδε. ἦν

---

silio cujusdam Ægyptii, qui Amasi erat infensus, quod se potissimum ex omnibus Ægypti medicis Amasis ab uxore et liberis abstraxisset, amandando in Persas, quo tempore Cyrus ad Amasin miserat petitum ocularium medicum, omnium qui in Ægypto essent præstantissimum. Ob id infensus Amasi ille Ægyptius, institit suadere Cambysi, ut ab Amasi filiam peteret; ut ille aut mœrore afficeretur data filia, aut non data, Cambysi redderetur invisus. Amasis Persarum potentiam exosus horrensque, eam nec dare audebat, nec abnuere; nam Cambysem intelligebat non habiturum illam uxoris loco, sed pellicis. Hæc reputans, ita sibi faciendum statuit. Erat Apriæ

Ἀπρίεω τοῦ προτέρου βασιλέος θυγάτηρ κάρτα μεγάλη τε καὶ εὐειδὴς μούνη τοῦ οἴκου λελειμμένη· οὔνομα δέ οἱ ἦν Νίτητις. ταύτην δὴ τὴν παῖδα ὁ Ἄμασις κοσμήσας ἐσθῆτί τε καὶ χρυσῷ, ἀποπέμπει ἐς Πέρσας ὡς ἑωϋτοῦ θυγατέρα. μετὰ δὲ χρόνον ὥς μιν ἠσπάζετο, πατρόθεν οὐνομάζων, λέγει πρὸς αὐτὸν ἡ παῖς, "Ὦ βασιλεῦ, διαβεβλημένος ὑπὸ Ἀμάσιος "οὐ μανθάνεις, ὃς ἐμέ σοι κόσμῳ ἀσκήσας "ἀπέπεμψε, ὡς ἑωϋτοῦ θυγατέρα διδοὺς, "ἐοῦσαν τῇ ἀληθηΐῃ Ἀπρίεω· τὸν ἐκεῖνος "ἐόντα ἑωϋτοῦ δεσπότεα, μετ᾽ Αἰγυπτίων "ἐπαναστὰς ἐφόνευσε." τοῦτο δὴ τὸ ἔπος καὶ αὕτη ἡ αἰτίη ἐγγενομένη ἤγαγε Καμβύσεα τὸν Κύρου, μεγάλως θυμωθέντα, ἐπ᾽ Αἴγυπτον. οὕτω μέν νυν λέγουσι Πέρσαι.

---

superioris regis filia, nomine Nitetis, unica domus relicta, grandis admodum atque speciosa. Hanc puellam Amasis, vestitu pariter et auro exornatam, pro sua filia in Persas dimittit. Quam quum post aliquantum tempus Cambyses salutasset filiam Amasis appellans, ipsa ad eum, Rem, inquit, rex, ignoras, ab Amasi elusus, qui me ornatu comptam tibi transmisit, tradens pro sua filia, quum revera sim Apriæ filia, quem ille dominum suum cum Ægyptiis rebellans interemit. Hic sermo et hæc causa exorta Cambysem Cyri filium vehementer indignatum impulit adversus Ægyptum. Atque ita quidem memorant Persæ.

β'. Αἰγύπτιοι δὲ οἰκηϊεῦνται Καμβύσεα, φάμενοί μιν ἐκ ταύτης δὴ τῆς Ἀπρίεω θυγατρὸς γενέσθαι· Κῦρον γὰρ εἶναι τὸν πέμψαντα παρὰ Ἄμασιν ἐπὶ τὴν θυγατέρα, ἀλλ' οὐ Καμβύσεα. λέγοντες δὲ ταῦτα, οὐκ ὀρθῶς λέγουσι. οὐ μὴν οὐδὲ λέληθε αὐτοὺς (εἰ γάρ τινες καὶ ἄλλοι, τὰ Περσέων νόμιμα ὀρθῶς ἐπιστέαται καὶ Αἰγύπτιοι) ὅτι πρῶτα μὲν νόθον οὔ σφι νόμος ἐστὶ βασιλεῦσαι, γνησίου παρεόντος· αὖτις δὲ, ὅτι Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρὸς ἦν παῖς Καμβύσης, ἀνδρὸς Ἀχαιμενίδεω, ἀλλ' οὐκ ἐκ τῆς Αἰγυπτίης. ἀλλὰ παρατρέπουσι τὸν λόγον, προσποιεύμενοι τῇ Κύρου οἰκίῃ συγγενέες εἶναι. καὶ ταῦτα μὲν ὧδε ἔχει.

γ'. Λέγεται δὲ καὶ ὅδε ὁ λόγος, ἐμοὶ μὲν

---

2. Ægyptii autem Cambysem suum vendicant asseverantes, ex hac Apriæ filia illum esse genitum: Cyrum enim fuisse, qui ad Amasin miserit super filia, non Cambysem. Quod quum dicunt, non recte dicunt. Equidem eos hoc non latet (nam siqui alii, profecto et Ægyptii recte norunt mores Persarum), apud eos primo vetari lege spurium regnare, si adsit legitimus. Præterea Cassandanes filius erat Cambyses, Pharnaspe viro Achæmenida genitæ, non mulieris Ægyptiæ. Sed Ægyptii historiam invertunt, fingentes sibi cum Cyri familia intercedere cognationem. Et hæc quidem ita habent.

3. Ceterum ille etiam sermo jactatur, mihi quidem non probabilis; mulierem quandam

οὐ πιθανός· ὡς τῶν Περσίδων γυναικῶν ἐσελθοῦσά τις παρὰ τὰς Κύρου γυναῖκας, ὡς εἶδε τῇ Κασσανδάνῃ παρεστεῶτα τέκνα εὐειδέα τε καὶ μεγάλα, πολλῷ ἐχρέετο τῷ ἐπαίνῳ, ὑπερθωϋμάζουσα. ἡ δὲ Κασσανδάνη, ἐοῦσα τοῦ Κύρου γυνὴ, εἶπε τάδε· "Τοιῶνδε μέντοι ἐμὲ παί-"δων μητέρα ἐοῦσαν Κῦρος ἐν ἀτιμίῃ ἔχει· "τὴν δ' ἀπ' Αἰγύπτου ἐπίκτητον ἐν τιμῇ τί-"θεται." τὴν μὲν ἀχθομένην τῇ Νιτῆτι εἰπεῖν ταῦτα. τῶν δέ οἱ παίδων τὸν πρεσβύτερον εἰπεῖν Καμβύσεα, "Τοιγάρ τοι, ὦ μῆτερ, "ἐπεὰν ἐγὼ γένωμαι ἀνὴρ, Αἰγύπτου τὰ "μὲν ἄνω, κάτω θήσω· τὰ δὲ κάτω, ἄνω." ταῦτα εἰπεῖν αὐτὸν ἔτεα ὡς δέκα κου γεγονότα, καὶ τὰς γυναῖκας ἐν θωΰματι γενέσθαι· τὸν δὲ, διαμνημονεύοντα, οὕτω δὴ, ἐπεί τε ἀν-

---

Persidem ad uxores Cyri introgressam, quum liberos Cassandanæ assistentes forma ac statura egregia conspicaretur, supra modum admirabundam magnis tulisse illam laudibus: eique Cassandanen Cyri uxorem ita dixisse; Me, quæ talium filiorum sum mater, Cyrus contemptui habet, illam vero ex Ægypto adquisitam æstimat. At illam infensam Niteti ista dixisse, et majore natu filium Cambysen ei subjecisse, Ego vero, mater, ubi vir factus sim, summa Ægypti reddam ima, et ima summa: eaque dixisse ipsum circiter decem natum annos, admirantibus mulieribus. Et quum in virilem adolevisset ætatem,

δρώθη, καὶ ἔσχε τὴν βασιληΐην, ποιήσασθαι τὴν ἐπ' Αἴγυπτον στρατηΐην.

δ'. Συνήνεικε δὲ καὶ ἄλλο τι τοιόνδε πρῆγμα γενέσθαι ἐς τὴν ἐπιστράτευσιν ταύτην. ἦν τῶν ἐπικούρων τῶν Ἀμάσιος ἀνὴρ γένος μὲν Ἁλικαρνησσεὺς, οὔνομα δέ οἱ Φάνης, καὶ γνώμην ἱκανὸς, καὶ τὰ πολέμια ἄλκιμος. οὗτος ὁ Φάνης μεμφόμενός κού τι Ἄμασι, ἐκδιδρήσκει πλοίῳ ἐξ Αἰγύπτου, βουλόμενος Καμβύσῃ ἐλθεῖν ἐς λόγους. οἷα δὲ ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ σμικροῦ ἐπιστάμενόν τε τὰ περὶ Αἴγυπτον ἀτρεκέστατα, μεταδιώκει ὁ Ἄμασις, σπουδὴν ποιεύμενος ἑλεῖν· μεταδιώκει δὲ, τῶν εὐνούχων τὸν πιστότατον ἀποστείλας τριήρεϊ κατ' αὐτὸν, ὃς αἱρέει μιν ἐν Λυκίῃ, ἑλὼν δὲ, οὐκ ἀνήγαγε ἐς

---

et regnum obtinuisset, hujus rei memorem, Ægypto bellum intulisse.

4. Accessit huc et aliud quiddam ad hanc sumendam expeditionem. Erat quidam auxiliariorum Amasis, nomine Phanes, genere Halicarnassensis, vir consilio præstans, et in re bellica strenuus. Hic Phanes nescio quid Amasi succensens, navigio profugit ex Ægypto, volens in colloquium venire Cambysis. Eum Amasis, quod inter auxiliares non parvi momenti esset, quodque de rebus Ægypti nihil non compertissimum haberet, insequi statuit, adhibita diligentia assequendi. Itaque ad hominem insequendum mittit cum triremi eunuchorum fidissimum, qui Phanem assequutus in Lycia

Αἴγυπτον· σοφίῃ γάρ μιν περιῆλθε ὁ Φάνης. καταμεθύσας γὰρ τοὺς φυλάκους, ἀπαλλάσσετο ἐς Πέρσας. ὡρμημένῳ δὲ Καμβύσῃ στρατεύεσθαι ἐπ' Αἴγυπτον, καὶ ἀπορέοντι τὴν ἔλασιν ὅκως τὴν ἄνυδρον διεκπερᾷ, ἐπελθὼν φράζει μὲν καὶ τἄλλα τὰ Ἀμάσιος πρήγματα· ἐξηγέεται δὲ καὶ τὴν ἔλασιν, ὧδε παραινέων· πέμψαντα παρὰ τὸν Ἀραβίων βασιλέα δέεσθαι, τὴν διέξοδόν οἱ ἀσφαλέα παρασχεῖν.

ε'. Μούνῃ δὲ ταύτῃ εἰσὶ φανεραὶ ἐσβολαὶ ἐς Αἴγυπτον. ἀπὸ γὰρ Φοινίκης μέχρι οὔρων τῶν Καδύτιος πόλιος, ἥ ἐστι Σύρων τῶν Παλαιστινῶν καλεομένων· ἀπὸ δὲ Καδύτιος, ἐούσης πόλιος, ὡς ἐμοὶ δοκέει, Σαρδίων οὐ πολλῷ ἐλάσσονος· ἀπὸ ταύτης τὰ ἐμπόρια τὰ ἐπὶ

cepit, sed ne sic quidem reduxit in Ægyptum; astu enim illum circumvenit Phanes. Nam postquam inebriaverat custodes, abiit in Persas, Cambysemque molientem adversus Ægyptum expeditionem, et quo pacto carentia aquis loca transmitteret ambigentem, adiit; eique cum alias Amasis res exposuit, tum vero quæ ad transmittendum pertinebant, suadens, ad regem Arabum mitteret oratum, ut sibi tutum præberet transitum.

5. Hac enim duntaxat patet ingressus in Ægyptum. Nam a Phœnice usque ad fines Cadytis urbis, *regio* Syrorum, qui Palæstini vocantur: ab urbe Cadyti, non multo minore, ut mea fert opinio, quam Sardes, ab hac, inquam, emporia ad

θαλάσσης μέχρι Ἰηνύσου πόλιός ἐστι τοῦ Ἀραβίου· ἀπὸ δὲ Ἰηνύσου, αὖτις Σύρων μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν δὴ τὸ Κάσιον ὄρος τείνει ἐς θάλασσαν· ἀπὸ δὲ Σερβωνίδος λίμνης, ἐν τῇ δὴ λόγος τὸν Τυφῶ κεκρύφθαι, ἀπὸ ταύτης δὴ Αἴγυπτος. τὸ δὴ μεταξὺ Ἰηνύσου πόλιος, καὶ Κασίου τε οὔρεος καὶ τῆς Σερβωνίδος λίμνης, ἐὸν τοῦτο οὐκ ὀλίγον χωρίον· ἀλλ' ὅσον τε ἐπὶ τρεῖς ἡμέρας ὁδὸν, ἄνυδρόν ἐστι δεινῶς.

ϛ'. Τὸ δὲ ὀλίγοι τῶν ἐς Αἴγυπτον ναυτιλλομένων ἐννενώκασι, τοῦτο ἔρχομαι φράσων. ἐς Αἴγυπτον ἐκ τῆς Ἑλλάδος πάσης, καὶ πρὸς, ἐκ Φοινίκης, κέραμος ἐσάγεται πλήρης οἴνου δὶς τοῦ ἔτεος ἑκάστου· καὶ ἓν κεράμιον οἰνηρὸν ἀριθμῷ κείμενον οὐκ ἔστι, ὡς λόγῳ εἰ-

mare usque ad urbem Ienysum Arabicæ ditionis sunt. Ab urbe Ienyso rursus Syriacæ, usque ad paludem Serbonidem, juxta quam Casius mons pertinet ad mare. A Serbonide palude, in qua Typho fertur occultatus, ab illa plane Ægyptus est. Hoc tamen intercapedinis, quod est inter urbem Ienysum et montem Casium et paludem Serbonidem, non exiguus tractus est, sed itineris instar trium dierum, vehementer aridus.

6. Verum quod pauci eorum qui in Ægyptum navigant, notum habent, hoc dicere institui. Ex omni Græcia, et præterea ex Phœnice, portatur in Ægyptum bis quotannis testa vini plena: et tamen ibi ne unum quidem numero, ut sic dicam,

πεῖν, ἰδέσθαι. κοῦ δῆτα, εἴποι τις ἂν, ταῦτα ἀναισιμοῦται; ἐγὼ καὶ τοῦτο φράσω· δεῖ τὸν μὲν δήμαρχον ἕκαστον ἐκ τῆς ἑωϋτοῦ πόλιος συλλέξαντα πάντα τὸν κέραμον, ἄγειν ἐς Μέμφιν· τοὺς δὲ ἐκ Μέμφιος ἐς ταῦτα δὴ τὰ ἄνυδρα τῆς Συρίης κομίζειν, πλήσαντας ὕδατος. οὕτω ὁ ἐπιφοιτέων κέραμος, καὶ ἐξαιρεόμενος ἐν Αἰγύπτῳ ἐπὶ τὸν παλαιὸν κομίζεται ἐς Συρίην.

ζ'. Οὕτω μέν νυν Πέρσαι εἰσὶ οἱ τὴν ἐσβολὴν ταύτην παρασκευάσαντες ἐπ' Αἴγυπτον, κατὰ δὴ τὰ εἰρημένα σάξαντες ὕδατι, ἐπεί τε τάχιστα παρέλαβον Αἴγυπτον· τότε δὲ οὐκ ἐόντος κω ὕδατος ἑτοίμου, Καμβύσης πυθόμενος τοῦ Ἁλικαρνησσῆος ξείνου, πέμψας παρὰ τὸν Ἀράβιον ἀγγέλους,

---

dolium vinarium aspici jacens potest. Ubinam ergo, dicat aliquis, hæc vasa consumuntur? hoc quoque ego depromam. Præfectus populi necesse habet ex sua quisque urbe colligere vasa testacea omnia, qnæ Memphin portentur: eadem incolæ Memphis aquæ referta portare in hæc arida Syriæ loca. Ita testa adveniens et exempta in Ægypto, ad veterem in Syriam portatur.

7. Atque hoc modo Persæ fuerunt, qui transitum hunc in Ægyptum apparaverunt, secundum ea, quæ narrata sunt, aquam stipantes, simulatque Ægypto potiti sunt. Sed tunc, quum alicubi parata aqua non esset, Cambyses, audito hospitis Halicarnassensis consilio, missis

καὶ δεηθεὶς τῆς ἀσφαλείης ἔτυχε, πίστις δούς τε καὶ δεξάμενος παρ' αὐτοῦ.

η'. Σέβονται δὲ Ἀράβιοι πίστις ἀνθρώπων ὅμοια τοῖσι μάλιστα. ποιεῦνται δὲ αὐτὰς τρόπῳ τοιῷδε· τῶν βουλομένων τὰ πιστὰ ποιέεσθαι, ἄλλος ἀνὴρ ἀμφοτέρων αὐτῶν ἐν μέσῳ ἑστεὼς, λίθῳ ὀξέϊ τὸ ἔσω τῶν χειρῶν παρὰ τοὺς δακτύλους τοὺς μεγάλους ἐπιτάμνει τῶν ποιευμένων τὰς πίστις· καὶ ἔπειτα λαβὼν ἐκ τοῦ ἱματίου ἑκατέρου κροκύδα, ἀλείφει τῷ αἵματι ἐν μέσῳ κειμένους λίθους ἑπτά· τοῦτο δὲ ποιέων, ἐπικαλέει τόν τε Διόνυσον καὶ τὴν Οὐρανίην. ἐπιτελέσαντος δὲ τούτου ταῦτα, ὁ τὰς πίστις ποιησάμενος τοῖσι φίλοισι παρεγγυᾷ τὸν ξεῖνον, ἢ καὶ τὸν ἀστὸν, ἢν πρὸς ἀστὸν ποιέηται. οἱ δὲ φίλοι, καὶ αὐτοὶ τὰς

---

ad regem Arabum nunciis, tutum iter precatus, obtinuit, data acceptaque ab eo fide.

8. Servant autem fidem Arabes inter homines ut qui maxime, quam hunc in modum paciscuntur: quoties fœdus inire volunt, alius vir medius inter utrosque stans, acuto lapide secat volam juxta majores digitos eorum, qui fœdus ineunt. Deinde sumpto flocco ex utriusque vestimento, jungit eo sanguine septem lapides in medio positos, inter inungendum invocans Bacchum et Uraniam. Hoc per istum acto, is qui facit fœdus, amicis vadatur hospitem aut etiam civem, si cum cive res agitur. Amici vero et ipsi fidem colere justum censent. Bacchum unum Deum, et Ura-

πίστις δικαιεῦσι σέβεσθαι. Διόνυσον δὲ θεὸν μοῦνον καὶ τὴν Οὐρανίην ἡγεῦνται εἶναι· καὶ τῶν τριχῶν τὴν κουρὴν κείρεσθαί φασι, κατάπερ αὐτὸν τὸν Διόνυσον κεκάρθαι· κείρονται δὲ περιτρόχαλα, περιξυροῦντες τοὺς κροτάφους. οὐνομάζουσι δὲ τὸν μὲν Διόνυσον, Οὐροτάλ· τὴν δὲ Οὐρανίην, Ἀλιλάτ.

θ΄. Ἐπεὶ ὦν τὴν πίστιν τοῖσι ἀγγέλοισι τοῖσι παρὰ Καμβύσεω ἀπιγμένοισι ἐποιήσατο ὁ Ἀράβιος, ἐμηχανᾶτο τοιάδε· ἀσκοὺς καμήλων πλήσας ὕδατος, ἐπέσαξε ἐπὶ τὰς ζωὰς τῶν καμήλων πάσας· τοῦτο δὲ ποιήσας, ἤλασε ἐς τὴν ἄνυδρον, καὶ ὑπέμεινε ἐνθαῦτα τὸν Καμβύσεω στρατόν· οὗτος μὲν ὁ πιθανώτερος τῶν λόγων εἴρηται· δεῖ δὲ καὶ τὸν ἧσσον πιθανὸν, ἐπεί γε δὴ λέγεται, ῥηθῆ-

---

niam esse arbitrantur. Et capillorum tonsuram tonderi dicunt, quemadmodum Bacchum ipsum tonsum fuisse: tondentur autem in rotundum tempora subradentes. Appellant vero Bacchum quidem Urotal, Uraniam Alilat.

9. Igitur postquam fœdus cum nunciis a Cambyse missis iniit Arabs, talem rem commentus est: Camelos omnes posteaquam utribus camelinis aqua completis oneravit, egitque ad loca humore carentia, ibi Cambysis exercitum opperiebatur. Et iis quæ narrantur, hoc quod dixi, propius fidem est; tamen id quoque, quod minus credibile est, quandoquidem refertur, commemorare debeo. Est magnum in Arabia flumen

ναι. ποταμός ἐστι μέγας ἐν τῇ Ἀραβίῃ, τῷ οὔνομα Κόρυς· ἐκδιδοῖ δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν καλεομένην θάλασσαν· ἀπὸ τούτου δὴ ὦν τοῦ ποταμοῦ λέγεται τὸν βασιλέα τῶν Ἀραβίων, ῥαψάμενον τῶν ὠμοβοέων καὶ τῶν ἄλλων δερμάτων ὀχετὸν μήκει ἐπικνεύμενον ἐς τὴν ἄνυδρον, ἀγαγεῖν διὰ δὴ τούτου τὸ ὕδωρ· ἐν δὲ τῇ ἀνύδρῳ μεγάλας δεξαμενὰς ὀρύξασθαι, ἵνα δεκόμεναι τὸ ὕδωρ σώζωσι· ὁδὸς δ' ἔστι δυώδεκα ἡμερέων ἀπὸ τοῦ ποταμοῦ ἐς ταύτην τὴν ἄνυδρον. ἄγειν δέ μιν διὰ ὀχετῶν τριῶν ἐς τριξὰ χωρία.

ι. Ἐν δὲ τῷ Πηλουσίῳ καλεομένῳ στόματι τοῦ Νείλου ἐστρατοπέδευετο Ψαμμήνιτος ὁ Ἀμάσιος παῖς, ὑπομένων Καμβύσεα. Ἄμασιν γὰρ οὐ κατέλαβε ζῶντα Καμβύσης

---

nomine Corys, exiens in mare quod dicitur Rubrum: ab hoc flumine fertur Arabum rex canalem ex bovinis aliisque crudis coriis consutum, tanta longitudine produxisse, ut ad loca arida per illam aquam produceret: inque ipso arido solo ingentes cisternas fodisse, quibus recepta aqua servaretur: et quum sit a flumine ad hanc aridam duodecim dierum via, per tres canales in tres regiones aquam ducere.

10. Ceterum apud Nili ostium, quod dicitur Pelusium, castra habebat PSAMMENITUS Amasis filius, Cambysem opperiens. Nam Amasin Cambyses in Ægyptum progressus vivum nactus non est, sed defunctum, quum quatuor et quadra-

ἐλάσας ἐπ᾽ Αἴγυπτον· ἀλλὰ βασιλεύσας ὁ Ἄμασις τέσσερα καὶ τεσσεράκοντα ἔτεα, ἀπέθανεν· ἐν τοῖσι οὐδέν οἱ μέγα ἀνάρσιον πρῆγμα συνενείχθη. ἀποθανὼν δὲ, καὶ ταριχευθεὶς, ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι ἐν τῷ ἱρῷ, τὰς αὐτὸς οἰκοδομήσατο. ἐπὶ Ψαμμηνίτου δὲ τοῦ Ἀμάσιος βασιλεύοντος Αἰγύπτου, φάσμα Αἰγυπτίοισι μέγιστον δὴ ἐγένετο· ὕσθησαν γὰρ Θῆβαι αἱ Αἰγύπτιαι, οὔτε πρότερον οὐδαμᾶ ὑσθεῖσαι, οὔτε ὕστερον τομέχρι ἐμεῦ, ὡς λέγουσι αὐτοὶ Θηβαῖοι. οὐ γὰρ δὴ ὕεται τὰ ἄνω τῆς Αἰγύπτου τοπαράπαν· ἀλλὰ καὶ τότε ὕσθησαν αἱ Θῆβαι ψακάδι.

ια΄. Οἱ δὲ Πέρσαι, ἐπεί τε διεξελάσαντες τὴν ἄνυδρον, ἵζοντο πέλας τῶν Αἰγυπτίων, ὡς συμβαλέοντες, ἐνθαῦτα οἱ ἐπίκουροι οἱ του

---

ginta annis regnasset: per quos nihil admodum magnæ calamitatis est expertus: defunctus autem et conditus sepultus fuit in sepulchris in templo, quæ ipse ædificaverat, Sub ejus autem filio Psammenito jam regnante maximum extitit Ægyptiis portentum: apud Thebas Ægyptias (quod neque prius unquam neque postea ad meam usque ætatem contigit, ut ipsi Thebani aiunt) pluit. Nam superiora Ægypti penitus pluviam non sentiunt: attamen Thebis tunc pluit guttis.

11. Persæ porro ubi sicca transmissa subsedere vicini Ægyptiis, tanquam congressuri; ibi Ægyptiorum auxiliatores Græci et Cares, Phani, qui externum exercitum in Ægyptum

Αἰγυπτίου, ἐόντες ἄνδρες Ἕλληνές τε καὶ Κᾶρες, μεμφόμενοι τῷ Φάνῃ, ὅτι στρατὸν ἤγαγε ἐπ᾽ Αἴγυπτον ἀλλόθροον, μηχανῶνται πρῆγμα ἐς αὐτὸν τοιόνδε. ἦσαν τῷ Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι· τοὺς ἀγαγόντες ἐς τὸ στρατόπεδον, καὶ ἐς ὄψιν τοῦ πατρὸς, κρητῆρα ἐν μέσῳ ἔστησαν ἀμφοτέρων τῶν στρατοπέδων· μετὰ δὲ, ἀγινέοντες κατὰ ἕνα ἕκαστον τῶν παίδων, ἔσφαζον ἐς τὸν κρητῆρα. διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων, οἶνόν τε καὶ ὕδωρ ἐσεφόρεον ἐς αὐτόν. ἐμπιόντες δὲ τοῦ αἵματος πάντες οἱ ἐπίκουροι, οὕτω δὴ συνέβαλον. μάχης δὲ γενομένης καρτερῆς, καὶ πεσόντων ἐξ ἀμφοτέρων τῶν στρατοπέδων πλήθεϊ πολλῶν, ἐτράποντο οἱ Αἰγύπτιοι.

ιβ΄. Θῶϋμα δὲ μέγα εἶδον πυθόμενος παρὰ τῶν ἐπιχωρίων· τῶν γὰρ ὀστέων περικεχυμένων

---

adduxisset, exprobrantes, hoc rei in illum sunt machinati: filios, qui erant a Phane relicti in Ægypto, in castra perduxerunt, atque in conspectum patris, positoque in medio duorum exercituum cratere; dehinc productos singulos puerorum super craterem obtruncaverunt. Omnibus interfectis, vinum et aquam in craterem intulerunt: hunc sanguinem quum bibissent omnes auxiliatores, ita conflixerunt. Acri prœlio commisso, perquam multis utrinque cadentibus, in fugam vertuntur Ægyptii.

12. Ibi ego rem mirandam vidi, ab indigenis edoctus: ossa utrorumque, qui in acie ista ce-

χωρὶς ἑκατέρων τῶν ἐν τῇ μάχῃ ταύτῃ πεσόντων· (χωρὶς μὲν γὰρ τῶν Περσέων ἐκέετο τὰ ὀστέα, ὡς ἐχωρίσθη κατ' ἀρχὰς, ἑτέρωθι δὲ, τῶν Αἰγυπτίων·) αἱ μὲν τῶν Περσέων κεφαλαί εἰσι ἀσθενέες οὕτω, ὥστε εἰ θέλεις ψήφῳ μούνῃ βαλέειν, διατετρανέεις· αἱ δὲ τῶν Αἰγυπτίων, οὕτω δή τι ἰσχυραὶ, μόγις ἂν λίθῳ παίσας διαῤῥήξεις. αἴτιον δὲ τούτου τόδε ἔλεγον, καὶ ἐμέ γ' εὐπετέως ἔπειθον, ὅτι Αἰγύπτιοι μὲν, αὐτίκα ἀπὸ παιδίων ἀρξάμενοι, ξυρεῦνται τὰς κεφαλὰς, καὶ πρὸς τὸν ἥλιον παχύνεται τὸ ὀστέον. τὠυτὸ δὲ τοῦτο καὶ τοῦ μὴ φαλακροῦσθαι αἴτιόν ἐστι. Αἰγυπτέων γὰρ ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων. τούτοισι μὲν δὴ τοῦτό ἐστι αἴτιον ἰσχυρὰς φορέειν τὰς κεφαλάς. τοῖσι δὲ

ciderunt, quum seorsum jacerent circumfusa, ut ab initio distincta fuerant, seorsum erant Persarum, aliorsum Ægyptiorum: sed Persarum capita adeo fragilia sunt, ut si velis ferire vel solo calculo, perforare possis: Ægyptiorum autem ita firma, ea vix ictu lapidis perfringes. Cujus rei causam hanc illi reddebant, facile mihi persuadentes, quod Ægyptii statim a pueris radere capita incipiunt, et os ad solem redditur compactum. Quæ eadem causa est non calvescendi; nam ex omnibus hominibus paucissimos quis Ægyptios calvos videat. His igitur hoc causæ est cur robusta capita gestent. At Persis cur fragilia sunt capita, id in causa est, quod a

Πέρσησι, ὅτι ἀσθενέας φορέουσι τὰς κεφαλὰς, αἴτιον τόδε· σκιητροφέουσι ἐξ ἀρχῆς, πίλους τιάρας φορέοντες. ταῦτα μέν νυν τοιαῦτα ἐόντα εἶδον· εἶδον δὲ καὶ ἄλλα ὅμοια τούτοισι ἐν Παπρήμι, τῶν ἅμα Ἀχαιμένεϊ τῷ Δαρείου διαφθαρέντων ὑπὸ Ἰνάρω τοῦ Λίβυος.

ιγ΄. Οἱ δὲ Αἰγύπτιοι ἐκ τῆς μάχης ὡς ἐτράποντο, ἔφευγον οὐδενὶ κόσμῳ. κατειληθέντων δὲ ἐς Μέμφιν, ἔπεμπε ἀνὰ ποταμὸν Καμβύσης νέα Μιτυληναίην κήρυκα ἄγουσαν ἄνδρα Πέρσην, ἐς ὁμολογίην προκαλεόμενος Αἰγυπτίους· οἱ δὲ, ἐπεί τε τὴν νέα εἶδον ἐσελθοῦσαν ἐς τὴν Μέμφιν, ἐκχυθέντες ἀλέες ἐκ τοῦ τείχεος, τήν τε νέα διέφθειραν, καὶ τοὺς ἄνδρας κρεουργηδὸν διασπάσαντες, ἐφόρεον ἐς τὸ τεῖχος. καὶ Αἰγύπτιοι μὲν μετὰ τοῦτο

---

principio assuefiunt in umbra nutriri, gestantes pileos tiaras. Hæc ergo quidem talia vidi. Vidi item alia istis similia in Papremi, eorum qui una cum Achæmene filio Darii ab Inaro Afro sunt cæsi.

13. Ægyptii quoque postquam ex acie terga dederunt, nullo ordine fugam capessebant. Ad quos, quum se recepissent Memphin, misit Cambyses per flumen navim Mitylenæam cum caduceatore viro Persa, qui illos ad pactionem hortaretur. Isti ubi navim ingredi Memphin vident, frequentes ex castello effusi, navim corruperunt, virosque instar carnis dilaniatos in castellum afferunt. Et Ægyptii quidem post hæc obsessi tandem in deditionem venerunt.

πολιορκεύμενοι, χρόνῳ παρέστησαν. οἱ δὲ προσεχέες Λίβυες, δείσαντες τὰ περὶ τὴν Αἴγυπτον γεγονότα, παρέδοσαν σφεας αὐτοὺς ἀμαχητί· καὶ φόρον τε ἐτάξαντο, καὶ δῶρα ἔπεμπον. ὣς δὲ Κυρηναῖοι καὶ Βαρκαῖοι, δείσαντες ὁμοίως ἃ καὶ οἱ Λίβυες, τοιαῦτα ἐποίησαν. Καμβύσης δὲ τὰ μὲν παρὰ Λιβύων ἐλθόντα δῶρα, φιλοφρόνως ἐδέξατο· τὰ δὲ παρὰ Κυρηναίων ἀπικόμενα μεμφθεὶς, ὡς ἐμοὶ δοκέει, ὅτι ἦν ὀλίγα· ἔπεμψαν γὰρ δὴ πεντακοσίας μνέας ἀργυρίου οἱ Κυρηναῖοι· ταύτας δρασσόμενος, αὐτοχειρίῃ διέσπειρε τῇ στρατιῇ.

ιδ΄. Ἡμέρῃ δὲ δεκάτῃ ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μη-

Afri vero finitimi, ea quæ Ægypto contigissent veriti, sese citra pugnam dediderunt, tributumque descripserunt ac dona miserunt. Cyrenæi quoque ac Barcæi itidem ut Afri timentes, similia et ipsi fecere. Cambyses munera, quæ ab Afris venere, perbenigne accepit: quæ autem a Cyrenæis, succensens, ut opinor, quod exigua erant; quingentas enim minas argenti miserant, quas sua manu prehensas dispersit in milites.

14. Decimo autem die quam castellum in urbe Memphi cepisset Cambyses, Psammenito Ægyptiorum rege, qui sex omnino regnarat menses, collocato in suburbio ignominiæ gratia,

νας ἓξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι, διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς, ποιέων τοιάδε· στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουλήϊη, ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν ὑδρήϊον· συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρῄϊσαν αἱ παρθένοι κατὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πάτερες ἀνεβόων τε καὶ ἀντέκλαιον, ὁρέοντες τὰ τέκνα κεκακωμένα· ὁ δὲ Ψαμμήνιτος, προϊδὼν καὶ μαθὼν, ἔκυψε ἐς τὴν γῆν. παρεξελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερά οἱ τὸν παῖδα ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων. τοὺς δὲ αὐχένας κάλῳ δεδεμένους, καὶ τὰ στόματα ἐγκεχαλινωμένους. ἤγοντο δὲ ποινὴν τίσοντες

---

cum Ægyptiis aliis, hoc fecit ut ejus animum experiretur: filiam illius, vestitu servili indutam, cum hydria ad aquam emisit; et cum ea similiter indutas alias, quas delegerat, primorum virorum filias virgines. Quæ ubi ad patres pervenerunt cum ejulatu ploratuque, ceteri quidem patres omnes conspectis filiabus tam male acceptis, vociferati sunt atque fleverunt: Psammenitus autem prospiciens atque intelligens, humi vultum demisit. Prætergressis puellis aquam ferentibus, secundo loco Cambyses ante oculos Psammeniti misit filium ejus cum duobus millibus Ægyptiorum æqualis ætatis, vinctas fune cervices et frenata ora habentibus. Ducebantur autem luituri pœnas

Μιτυληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηΐ. ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήϊοι δικασταὶ, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλλυσθαι· ὁ δὲ, ἰδὼν παρεξιόντας, καὶ μαθὼν τὸν παῖδα ἡγεόμενον ἐπὶ θάνατον, τῶν ἄλλων Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τὠϋτὸ ἐποίησε τὸ καὶ ἐπὶ τῇ θυγατρί. παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥς τε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικέστερον ἐκπεπτωκότα ἐκ τῶν ἐόντων, ἔχοντά τε οὐδὲν, εἰ μὴ ὅσα πτωχὸς, καὶ προσαιτέοντα τὴν στρατιὴν παριέναι, Ψαμμήνιτόν τε τὸν Ἀμάσιος, καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους τῶν Αἰγυπτίων. ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα, καὶ καλέσας οὐνοματὶ τὸν ἑταῖρον, ἐπλήξατο

---

his Mitylenæis, qui cum navi fuerant ad Memphin obtruncati. Ita enim censuerant regii judices, pro singulis suorum interfectis denos primorum Ægyptiorum interficiendos. Psammenitus præter se exeuntes intuens, et filium animadvertens duci ad mortem, aliis Ægyptiis, qui circum sedebant complorantibus, et gravia sibi accidere dolentibus, ipse idem quod et in filia fecit. His quoque prætergressis, accidit ut quidam compotorum ejus natu grandior, pristinis bonis elapsus, ac nihil habens nisi quæ inops mendicus, obiret exercitum mendicans, nec non Psammenitum Amasis filium aliosque Ægyptios in suburbio considentes. Quem ut conspexit Psammenitus, erumpen-

τὴν κεφαλήν. ἦσαν δ' ἄρα αὐτοῦ φύλακοι, οἳ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ ἐξόδῳ, Καμβύσῃ ἐσήμαινον. θωϋμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα, πέμψας ἄγγελον, εἰρώτα αὐτὸν, λέγων τάδε, " Δεσπότης σε " Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ διότι δὴ τὴν " μὲν θυγατέρα ὁρέων κεκακωμένην, καὶ τὸν " παῖδα ἐπὶ θάνατον στείχοντα, οὔτε ἀνέ- " βωσας, οὔτε ἀπέκλαυσας· τὸν δὲ πτωχὸν, " οὐδέν σοι προσήκοντα, ὡς ἄλλων πυνθάνε- " ται, ἐτίμησας;" ὁ μὲν δὴ ταῦτα ἐπειρώτα· ὁ δ' ἀμείβετο τοῖσδε, " Ὦ παῖ Κύρου, τὰ " μὲν οἰκήϊα ἦν μέζω κακὰ ἢ ὥστε ἀνακ- " λαίειν· τὸ δὲ τοῦ ἑταίρου πάθος, ἄξιον ἦν " δακρύων· ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων " ἐκπεσὼν, ἐς πτωχηΐην ἀπῖκται, ἐπὶ γήραος

te ingente fletu, compellans nomine amicum, caput suum cædebat. Aderant autem ei observatores, qui ut quicquid ab illo fiebat in unoquoque exitu, Cambysi renunciarent. Ea quæ fiebant admiratus Cambyses, misso nuncio percontatus eum est, inquiens: herus te Cambyses, Psammenite, interrogat, quamobrem tu, qui visa filia malo affecta, viso etiam filio ad mortem eunte, neque ejulasti neque flevisti, sed pauperem tanti feceris, tibi, ut ab aliis audivit, non propinquum. Et ille quidem ita interrogavit. Psammenitus autem his verbis respondit: O fili Cyri, domestica mala erant majora, quam ut possem ea deflere: at lamentatio amici digni lacrymis fuit, qui e multis ac fortunatis opibus evolutus ad inopiam recidit, in

"οὐδῷ." καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου, εὖ δοκέειν οἱ εἰρῆσθαι. ὡς δὲ λέγεται ὑπ' Αἰγυπτίων, δακρύειν μὲν Κροῖσον, (ἐτετεύχεε γὰρ καὶ οὗτος ἐπισπόμενος Καμβύσῃ ἐπ' Αἴγυπτον) δακρύειν δὲ Περσέων τοὺς παρεόντας· αὐτῷ τε Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα, καὶ αὐτίκα κελεύειν τόν τε οἱ παῖδα ἐκ τῶν ἀπολλυμένων σώζειν, καὶ αὐτὸν ἐκ τοῦ προαστείου ἀναστήσαντας, ἄγειν παρ' ἑωυτόν.

ιέ. Τὸν μὲν δὴ παῖδα εὗρον οἱ μετιόντες οὐκέτι περιεόντα, ἀλλὰ πρῶτον κατακοπέντα· αὐτὸν δὲ Ψαμμήνιτον ἀναστήσαντες, ἦγον παρὰ Καμβύσεα· ἔνθα τοῦ λοιποῦ διαιτᾶτο, ἔχων οὐδὲν βίαιον. ἢν δὲ καὶ ἠπιστήθη μὴ πολυπρηγμονεῖν, ἀπέλαβε ἂν Αἴγυπτον, ὥστε ἐπιτροπεύειν αὐτῆς. ἐπεὶ τιμᾷν ἐώθασι Πέρσαι

limine senectutis. Hæc ubi delata ab hoc, sibi videri illa recte dicta esse; ut vero ab Ægyptiis fertur, Crœsum, quippe hic quoque adscitus erat ab Cambyse in expeditionem Ægyptiacam, illacrymasse, item qui aderant Persæ, ipsique Cambysi commiserationem subiisse, ut protinus jusserit, et filium ex his qui morti addicti essent liberari, et patrem e suburbio excitum ad se duci.

15. Sed filium quidem qui adierunt, non jam superstitem invenerunt, sed primo loco trucidatum: ipsum vero Psammenitum excitatum ad Cambysem duxerunt: ubi reliquum vitæ vixit, nihil violentum passus. Qui si compertus etiam fuisset non affectasse res novas, acce-

τῶν βασιλήων τοὺς παῖδας· τῶν, εἰ καί σφεων ἀποστέωσι, ὅμως τοῖσί γε παισὶ αὐτῶν ἀποδιδοῦσι τὴν ἀρχήν. πολλοῖσι μέν νυν καὶ ἄλλοισί ἐστι σταθμώσασθαι, ὅτι τοῦτο οὕτω νενομίκασι ποιέειν· ἐν δὲ δὴ καὶ τῷδε, τῷ Λίβυος Ἰνάρω παιδὶ Θαννύρᾳ, ὃς ἀπέλαβε τήν οἱ ὁ πατὴρ εἶχε ἀρχήν· καὶ τῷ Ἀμυρταίου Παυσίρι· καὶ γὰρ οὗτος ἀπέλαβε τὴν τοῦ πατρὸς ἀρχήν. καίτοι Ἰνάρω τε καὶ Ἀμυρταίου οὐδαμοί κω Πέρσας κακὰ πλέω ἐργάσαντο. νῦν δὲ μηχανώμενος κακὰ ὁ Ψαμμήνιτος, ἔλαβε τὸν μισθόν· ἀπιστὰς γὰρ Αἰγυπτίους ἥλω. ἐπεί τε δὲ ἐπαΐστος ἐγένετο ὑπὸ Καμβύσεω, αἷμα ταύρου πιὼν, ἀπέθανε παραχρῆμα. οὕτω δὴ οὗτος ἐτελεύτησε.

---

